Ὁ Τζιρίθων Ἰωάννης πρωτοσπαθάριος κριτὴς ἐπὶ τοῦ ἱπποδρόμου καὶ βασιλικὸς νοτάριος τοῦ εἰδικοῦ λογοθέτου ὁ Καματηρός.

Χρυσόβουλλον τοῦ αὐτοῦ μακαρίτου βασιλέως κυρίου Κωνσταντίνου τοῦ Μονομάχου περὶ τοῦ παρὰ μόνης τῆς Βασιλικῆς Μεγαλειότητος κρίνεσθαι τὴν Μονήν.

Ἀλλὰ τίνων ἄλλων τοσοῦτον ὅσον τῶν τὸν μονάδα βίον προελωμένων, καὶ γῆν ἐπίσης βδελυξαμένων, καὶ ὅσα γήϊνα μέλει Θεῷ; ἐπεὶ κακεῖναις μέλον Θεῷ. Τοῦτο πρὸ τῶν ἄλλων σπουδάζουσι, θεραπεύειν Θεόν, καὶ ὑπὸ τοῖς ἐκείνου ζῆν ὀφθαλμοῖς, καὶ τὰ ἐκείνου τηρεῖν, κρίματα ὧν ἡ ἐπιθυμία, κατὰ τὸν θεῖον φάναι Δαβίδ, χρυσίου καὶ λίθου τιμίων ἐπέκεινα, καὶ γλυκυτέρα κηρίου καὶ μέλιτος. Τῶν δὴ οὖν τοιούτων καὶ προνοητέον ὅσον εἰκός, τὸν φιλάρετον ἢ φιλόθεον ἑαυτῷ διὰ τούτων τὴν θείαν προμήθειαν προκαλούμενοι, καὶ πᾶσι τρόποις περιποιητέον αὐτοῖς τὴν ἡσυχίαν ἄσκησιν καὶ τῆς βασιλείας αὐτῆς ἐντεύξεις προσάγοιεν. Ταύτῃ τοι καὶ ἡ Θεοστεφὴς ἡμῶν γαληνότης τῶν ἐν τῇ μονῇ τῆς Θεομήτορος, ἣ κατὰ τὴν νῆσον Χίον ἀνακειμένη, Νέα προσονομάζεται, διασκουμένη εὐλαβῶν μοναστῶν, οἷς ὁ κατὰ Θεὸν ἐμπολιτεύεται βίος, καὶ ἀγγελικὴ κατὰ δύναμιν ὑποτυποῦται διαγωγὴ καὶ κατάστασις, ἔθετο μὲν καὶ ἄλλως πρόνοιαν, μεταδοῦσα τῶν ἑαυτῆς χαρίτων, καὶ γνωρίσασα καὶ τούτοις τὴν ἄφθονον δεξιάν· ἐπεὶ δὲ καί τινων εὐπορίσασα αὐτοῖς ὑπὸ τὴν μονήν, κτημάτων τε καὶ παροίκων ἀπό τε δωρημάτων τοῦ κράτους ἡμῶν, καὶ συναλαγμάτων

οἰκείων, διενέξεως τε καὶ πραγμάτων ἐπιφορᾶις περιπείρεσθαι μετὰ τῶν ὁμοῦ ἢ καὶ πλησίον χωρούντων πάντων, ἐπάναγκες ἐστι τούτοις γὰρ ἂν κακεῖνα συναναμέμικται καὶ οἷον συνέζευκται. Καὶ διὰ ταῦτα φόβος αὐτοῖς ὑπέτρεχεν ἀκαταλόγιστος καὶ κατέσειε μή ποτε πᾶσι δικάζουσι πρὸς ἀπαγωγὰς καὶ μετακλήσεις καὶ βιαίους ἑλκισμοὺς προσκίμενοι, θήρα πρὸς ἄγραν ὑπάρχουσιν ἕτοιμοι, κἀντεῦθεν ἐπισκόπτειντο μὲν τὴν πρὸς τὸ καλὸν ἕξιν, τῆς συντρόφου διαγωγῆς ἀπροσπώμενοι κατάγοιντο δὲ τῆς πρὸς ὕψος ἀναγκαιούσης θεωρίας, διὰ [τὸ] τῶν πραγμάτων θορυβῶδες καὶ συγχυτικὸν κατέχον ἢ καταρύρον εἰς ἔδαφος· ἡ Βασιλεία ἡμῶν καὶ ταύτην αὐτοῖς ἵστησι τὴν ἀγωνίαν καὶ λύει τὸ δέος, καὶ βραχύαις συλλαβαῖς τὸ ἀπερικτύπητον τούτοις χαρίζεται· ἵνα καὶ ἀνεπιθολώτους τὰς ὑπὲρ αὐτῆς ἱκετείας πρὸς Θεὸν ἀναφέροιεν ἀπελαύνουσα γὰρ πόρρωθεν τούτων τὸ ταραχῶδές τε καὶ πολύοχλον, ἵνα ὡς ἐν ἀδύτοις τισὶ μεταγωγούμενοι, τὸ ἠρεμαῖόν τε καὶ γαλήνιον πάντοθεν ἔχοιεν. Θεσπίζει διὰ τοῦ παρόντος αὐτῆς εὐσεβοῦς χρυσοβούλλου λόγου, ὥστε ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, μή τινα δικαστὴν εἰς τὴν δηλωθεῖσαν μονὴν περιέναι δίκης οἱασδήτινος ἕνεκεν, μήτε τι σύμβολον ἀρχικῆς δυναστείας· κατ' αὐτῆς, καὶ τῶν ἐν αὐτῇ τε καὶ ὑπ' αὐτὴν ἐπιδείκνυσθαι· ἀλλ' εἴ ποτε διαφοραὶ καὶ διαμάχαι τινές, εἰ μὲν τοῖς τῆς μονῆς πρός τινας ἑτέρους ἐπιγένοιντο καὶ βούλοιντο ταύτας οὗτοι κατὰ τῶν ἀντιφερομένων ἐγγυμνάζειν, ἀκωλύτως κινεῖν, καὶ τὸν νόμον εὑρίσκειν διαιτητὴν τοῦ καλὸς ἔχοντος· εἰ δ' ἀφ' ἑτέρων κατ' αὐτῶν κινηθεῖεν, καὶ διαστασιάζοιεν πρὸς ἀλλήλους ἐπί τισι δίκαις, ἢ περὶ τόπων ἀφαιρέσεως, ἢ μεταθέσεως ὅρων τῶν ὑπ' αὐτοὺς πάντων κτημάτων, ἢ καινοτομίας ἑτέρας τινός, καὶ ἀμφιβολίας, μήτε θερματικὸν ἢ πολιτικόν, ὡς εἴρηται, δικαστήν, μήτε τινα τῶν ἄλλων ἀρχόντων ἢ βῆμα δικαστικὸν τοῖς ἄγουσιν ἀναπτύσειν, καὶ τὰς περὶ τούτων ἀγωγὰς ἐγγυμνάζειν, ἢ ψιφίζεσθαι, ἢ ὅλλως ἀγώγιμόν τινα τῶν ἐν τῇ μονῇ ποιεῖν καὶ καθέλ-

κειν εις δικαστήριον· ἀλλὰ τὰ κατὰ τούτων κινούμενα τῷ μείζονι τῶν ἄλλων ἀφιέναι δικαστηρίων, καὶ μόνον ἀκροᾶσθαι τούτων τὸν τὴν αὐτοκράτορα λαχόντα διέπειν ἀρχήν, ἀρρεπεῖ τε καὶ ἀδεκάστῳ κρίσει, ἢ διαλύειν τὰς ἀναμέσον τούτων ἀμφισβητήσεις ἢ τὸ δεδογμένον μὲν ἀποφαίνεσθαι, τὸν δὲ κριτὴν δεχόμενον, κατὰ τὰς βασιλικὰς ἀποφάσεις πληροῦν, καὶ οἷον ἐκβιβαστὴν τῶν ἤδη κεκριμένων γίνεσθαι· μόνης γὰρ ἐξηρτῆσθαι βασιλικῆς ἀκροάσεως τὰ κατὰ τούτων λεγόμενα βουλόμεθα καὶ ψήφοις αὐτοκρατορικαῖς τὰς ἐπὶ τὰς δίκας καταδίκας ἡνίκα αὐτοὺς ἀποφέρεσθαι. Εἰ δ' ἴσως ἀγωγὰς αὐτοί κατά τι γυμνάζειν αἱροῖντο παρὰ δικαστῇ μὴ προστίσασθαι τούτοις τὸν παρόντα χρυσόβουλον λόγον, ἵνα μὴ τὸ ὑπὲρ αὐτῶν εἰσενεχθὲν ἐξ ἀποτελέσματος κατ' αὐτῶν ἀναφανῇ. Διὸ παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων, γενικῶν καὶ στρατιωτικῶν λογοθετῶν, τῶν ἐπὶ τῆς ἡμετέρας σακέλης καὶ τοῦ βεστιαρίου, οἰκονόμων τῶν εὐαγῶν οἴκων τῶν ἐπὶ τῶν οἰκιακῶν καὶ τῶν ἐφόρων, τῶν Βασιλικῶν κουρατοριῶν, εἰδικῶν γηροτρόφων, τῶν ἐπὶ τοῦ θείου ἡμῶν ταμείου τοῦ φύλακος· κουρατόρων τοῦ οἴκου τῶν Ἐλευθερίου καὶ τῶν Μαγγάνων, οἰκιστῶν, καὶ τῶν ὑπ' αὐτοὺς πρωτονοταρίων, λογαριαστῶν, χαρτουλλαρίων, βασιλικῶν νοταρίων· ἔτι δὲ δομεστίχων τῶν σχολῶν, δουκῶν κατεπάνω, στρατηγῶν, καὶ τῶν ἀντιπροσωπούντων αὐτοῖς, ταξιαρχῶν, τουρμαρχῶν, μεραρχῶν, χαρτουλλαρίων τοῦ δρόμου καὶ τῶν θεμάτων, κομήτων τῆς κόρτης, δομεστίκων (πρὸς τούτοις δρουγκαρίων τῆς Βίγλης, κριτῶν πολιτικῶν καὶ θεματικῶν, ἐποπτῶν, στρατευτῶν Βασιλικῶν, τῶν θεμάτων, δρουγκαροκομήτων, πρωτοκεντάρχων, προελευσιμαίων καὶ λοιπῶν ταγμάτων καὶ θεματικῶν ἀρχόντων), τῶν εἴς τινας τοῦ δημοσίου δουλείας ἀποστελλομένων, πρωτονοταρίων, νοταρίων, συνωναρίων, τοποτηρητῶν, παραφυλάκων, καὶ παντὸς ἑτέρου δουλείας τοῦ κοινοῦ μεταχειριζομένου, τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήτινα τρόπον ἐπ' ἀδείας ἔχειν, μήτε

τῶν ὑπεροχαῖς ἀρχόντων, μήτε πολι . . . κὸν ἢ θεματικὸν δικαστὴν καθέλκειν συνόλως εἰς δικαστήριον τοὺς ἐν τῇ δηλωθείσῃ μονῇ Θεοφιλεῖς μοναστὰς διήκῃ οἱαδήποτε χάριν τῶν ὑπ' αὐτὴν κτημάτων καὶ τῶν ἐν αὐτοῖς· μόνον γὰρ τὸ θειότατον καὶ βασιλικὸν βῆμα ταῖς κατὰ τούτων ἤδη δίκαις ἀνέωγε· καὶ ᾧ ἂν ὁ κρατῶν μετὰ τὴν τῆς κροτουμένης ἀγωγῆς ἀκρόασιν, ἐπιτρέψειε τὴν διάγνωσιν ἢ ἐκβίβασιν. Τοῖς δὲ ἄλλοις θύρας ἐπέθηκεν ἡ τοῦ κράτους ἡμῶν αὕτη διάταξις. Ὅθεν ὡς βεβαίου καὶ ἀσφαλοῦς τυγχάνοντος τοῦ παρόντος ἡμῶν εὐσεβοῦς χρυσοβούλου λόγου· γεγενημένου κατὰ τὸν Ἰούνιον μῆνα τῆς δωδεκάτης Ἰνδικτιῶνος, ἐν ἔτει ἑξακισχιλιοστῷ πεντακοσιοστῷ πεντηκοστῷ τρίτῳ τὸ ἡμέτερον εὐσεβὲς καὶ Θεοπρόβλητον ἐν αὐτῷ ὑπεσημήνατο κράτος.

Κωνσταντῖνος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς Βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Μονομάχος.

Ἐπικυρωτικὸν χρυσόβουλλον τοῦ ἀοιδίμου ἐκείνου βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Μονομάχου περὶ τῆς ἐξκουσσείας τοῦ κτήματος τῶν Καλοθηκίων.

Οὐδὲν οὕτως εὐφραίνειν οἶδε τὸν δωρούμενον, καὶ προθυμότερον, ὡς ἡ τῶν λαμβανόντων ἀρίστη καὶ Θεῷ φίλη ἐν πράγμασιν αὐτοῖς οἰκειότης· εὐφράνθη τοιγαροῦν καὶ ἡ βασιλεία ἡμῶν, ἐπὶ τῇ εἰς τὴν μονὴν τῆς Θεομήτορος καταβολῇ καὶ δόσει τοῦ χρυσίου, ἣ κατὰ μὲν τὴν Χίον διάκειται, Νέαν δὲ τὴν κλῆσιν ἔλαχεν, ὅτι περ οἱ τὰ ταύτης λαχόντες οἰκονομεῖν εὐλαβεῖς μοναστάι, οὐ συμπνιγῆναι τὸν σπόρον τῆς εὐποιίας εἴασαν, ἀλλὰ διὰ τῆς αὐτῶν ἐμμελοῦς τε καὶ θεοφιλοῦς πράξεως, κομῶντα τὸν

ἄσταχυν ταύτης ἀναδεδώκασι, καὶ καλαῖς ἀποθήκαις αὖθις καὶ ἀσύλοις ἐναποθέμενοι ταύτην ταῖς ἑαυτῶν εὐσυνειδήτοις ψυχαῖς, τὸ Καλοθήκια, οὕτω πως ἐθάδι γλώττῃ λεγόμενα, ἀπὸ τῶν τοῦ Κατακαλῶν ἐκείνου υἱῶν ἐξωνήσαντο ἐπὶ καταβολῇ λιτρῶν ἑξήκοντα, μετὰ πάντων τῶν ἀγριδίων αὐτῶν, καὶ τῆς ὑπ' αὐτὰ περιοχῆς τε καὶ διακρατήσεως, καὶ τοῦ ὁθενδήποτε τούτοις ἀνήκοντος δικαίου καὶ προνομίου.

Ποθοῦσα δὲ ὁλοψύχως γλιχομένη ἡ βασιλεία ἡμῶν τῷ παντὶ χρόνῳ συμπαρεκτείνεσθαι τὸ ἀγαθόν, καὶ μηδέποτε λῆξιν λαβεῖν, ἀλλ' ἀναθάλειν ἀεί, ἐπικυροῖ μὲν διὰ τοῦ παρόντος εὐσεβοῦς χρυσοβούλου σιγιλλίου τὴν καλῶς ἐκτεθεῖσαν πρᾶσιν, ἵνα μήπου τις βάσκανος ψυχὴ καὶ ἀφιλόκαλος, τῷ καθαρῷ τούτῳ τῆς κατὰ Θεὸν πράξεως σίτῳ, πονηρὸν ἐγκαταμίξῃ ζιζάνιον, καὶ πρὸς πικρασμὸν συνελάσῃ τὴν ἀπὸ τούτου ζωογονουμένην ἱερὰν τοῦ Κυρίου ποίμνην. Ἀκυροῖ δὲ καὶ πᾶσαν δικαιολογίαν ἡ βασιλεία μου, τῶν ἴσως ἀντιφθέγξασθαι πειραθησομένων, καὶ ἢ ἀπὸ προτιμήσεως, ἢ ἄλλως πως ἀνακαλέσασθαι τὴν τῶν εἰρημένων κτημάτων δεσποτείαν, καὶ προθυμηθησομένων· καὶ πρὸς τούτοις δωρεῖται καθαρῶς τε καὶ ἀβαρῶς καὶ τὸ ὁλον κλασμα τῶν Καλαθηκίων, τὰ τριακονταεπτὰ τρίτου νομίσματα, πρὸς σώματος λόγον, ὥστε τοῦ λοιποῦ ἀνόρθωτον μένειν τοῦτο, καὶ τὴν τούτου [κτῆσιν] ἀναφαίρετον παρὰ τῇ Μονῇ εἶναι, μήτε εἰς διάπτωσιν ἀποπίπτουσιν, ἢ λιβελλικῶς διαπωλουμένην, ἢ ἄλλως πως ἐγειρομένην· καὶ θεσπίζει κατὰ τελείαν ἐξουσίαν, καὶ ἀναφαίρετον δεσποτείαν ἔχειν τὴν εἰρημένην μονὴν τῆς ὑπεραγίας Θεοτόκου τῆς Νέας τὰ τοιαῦτα κτήματα τῶν Καλοθηκίων, μετὰ τῶν ὑπ' αὐτὰ ἀγριδίων· καὶ τοῦ κλάσματος, καὶ τοῦ χωρίου Εὐχείας· ὅπερ ὡς ἀγρὸς μὲν τῶν εἰρημένων κτημάτων πρὸς τοὺς μοναστὰς συνδιεπράθη, εὑρέθη δὲ ἰδιόστατον χωρίον, καὶ ἴδιον ἔχων ἰσοκώδικον, καὶ δυσὶ σεκρέτοις καταμεριζόμενον, τῷ τε τοῦ Γενικοῦ, καὶ τῷ τῶν Μαγγάνων· τὸ γὰρ αὐτοῦ δημόσιον συμπαθηθέν, πρὸς τὸ

Κουρατωρείκιον ἀπέβλεψεν· αὖθις δὲ ἐπορθωθέν, τοῖς τοῦ Γενικοῦ ἐνεγράφη κώδηξι· καὶ τό τε πάκτον καὶ τὸ δημόσιον ἀνεξάλειπτα παρ' ἀμφοτέροις ἦν· οὐκ ἐπὶ ἄλλοις καὶ ἄλλοις τοπίοις, ἀλλ' ἐπὶ τοῖς αὐτοῖς· ὅτι περ οὐ μέρος τοῦ δημοσίου ἐπορθωθὲν εὑρέθη, ἀλλ' αὐτὸ τὸ ὅλον αὐτοῦ δημόσιον, δηλονότι τὰ ἑπτὰ ἥμισυ νομίσματα· ἐξκουσσείας δὲ πάσης καθαρᾶς ἀπολαύειν τὴν εἰρημένην Μονὴν καὶ τὰ ταύτης πάντα βούλεται ἡ βασιλεία μου, καὶ οὐ μόνον ἃ νῦν ἐστὶν ὑπ' αὐτὴν ἐξκουσσεύεσθαι, ἀλλὰ καὶ τὰ μετὰ τοῦτο αὖθις ἐπικτηθησόμενα πάντα, καὶ ὥσπερ ἀθάνατον εἶναι τὸ καλόν, καὶ τῷ παντὶ αἰῶνι συμπαρεκτείνεσθαι, καὶ μήτε κανισκίῳ τοῦ κριτοῦ, ἢ τοῦ στρατηγοῦ, ἢ τῶν ἀπαιτητῶν, ἢ ἑτέρου τοῦ οἱουδήτινος βαρεῖσθαι. Ἐκκόπτει γὰρ καὶ τὴν τοῦ μονοπροσώπου δόσιν, ὅπερ ποτὲ ἀπὸ τῶν Καλοθηκίων ἐδίδοτο· καὶ ἁπλῶς εἰπεῖν πᾶν εἶδος ἐπηρείας ἀπείργει ἡ βασιλεία μου, νῦν τε τῷ βίῳ ἐμπολιτευόμενον, καὶ αὖθις ἐσόμενον, καὶ τῷ καθολικῷ τῆς ἐξκουσσείας ὀνόματι πᾶσαν ἐπικράτειαν συλλαμβάνει· ἐξκουσσεύεσθαι δὲ καὶ τοὺς νῦν ἐν αὐτοῖς προσκαθημένους παροίκους, καὶ εἰς μηδὲν πλέον ἀπαιτεῖσθαι ὧν ἀπὸ παλαιοῦ παρεῖχον· ἀλλ' ἀνεπηρεάστους τοῦ λοιποῦ καὶ τούτους διαμένειν μηδεμίαν αὔξησιν δεχομένους, ἢ παρὰ ἀναγραφέως, ἢ ἑτέρου οἱουδήτινος· ἀλλ' ἐφ' οὗ νῦν εἰσὶ σχήματος, καὶ εἰς τὸ ἀεὶ διαμένοντας. Προσδωρούμεθα δὲ ταύτῃ καὶ ἐξκουσσείαν τελῶν ἑτέρων παροίκων κδ'. Ἀτελεῖς δὲ φαμὲν τοὺς μήτε γῆν ἰδίαν ἔχοντας, μήτε δημόσιον, μήτε στρατείᾳ, ἢ δρόμῳ κατειλημμένους, ἢ ἑτέρῳ δημοσιακῷ λειτουργήματι βεβαρημένους, καὶ ἐξκουσσεύεσθαι καὶ τούτους διοριζόμεθα, ὥσπερ δὴ καὶ τὴν δηλωθεῖσαν Μονήν, καὶ τὰ ὑπ' αὐτὴν ἀπό τε συνωνῆς καπνικοῦ, προσοδίου, ἀερικοῦ, οἰκοδομίου, κωμοδρομικίου, πάκτου, κογχύλης, στρατείας, καστροκτισίας, ἐνοχῆς τοῦ δρόμου, ἐκβολῆς κονταράτων, τοξοτῶν, ταγῆς πεζῶν, ἐξοπλίσεως νέων, ἢ ἑτέρων στρατιωτῶν ταξατιῶνος, ματζουκατιῶνος, ὁδοστρωσίας, γεφυρώσεως, μιτάτων, ἁπλή-

κτων, ἐπιθέσεως μονοπροσώπων, ἀγορᾶς μουλαρίων, μεσομουλαρίων, βορδωνίων, μεσοβορδωνίων, ἵππων, παριππίων, ὀνοκηλωνίων, ὀνοθηλειῶν, φορβάδων, βοῶν ἐργατικῶν καὶ ἀγελαίων, χοίρων, αἰγῶν, προβάτων, ἐξωνήσεως οἴνου, σίτου, κριθῆς, βρόμου, καὶ παντοίων σπερμάτων· ἐκβολῆς γεννημάτων, καὶ μετακομιδῆς· ἀπαιτήσεως χορτασμάτων, παροχῆς χρειῶν, κανισκίου, καθίσματος κριτῶν καὶ ἀπαιτητῶν· μιτάτων Ῥῶς· κοπῆς καὶ καταβιβασμῶν ξύλων, σανίδος· κτίσεως χελανδίων, ἀγραρίων, ζορμώνων πολεμικῶν, καὶ λοιπῆς ἁπάσης ἐπηρείας καὶ ἀγγαρείας τοῦ Δημοσίου.

Διὸ παρεγγυώμεθα, καὶ πάντας ἀσφαλιζόμεθα, ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων, γενικῶν, καὶ στρατιωτικῶν λογοθετῶν, τῶν ἐπὶ τῆς ἡμετέρας σακέλλης τοῦ Βεστιαρίου οἰκονόμων τῶν εὐαγῶν οἴκων, τῶν ἐπὶ τῶν οἰκειακῶν, καὶ τῶν ἐφόρων τῶν βασιλικῶν κουρατωρειῶν, γηροτρόφων, εἰδικῶν, τῶν ἐπὶ τοῦ θείου ἡμῶν ταμείου τοῦ φύλακος· κουρατώρων τοῦ οἴκου τῶν Ἐλευθερίου, καὶ τῶν Μαγγάνων· οἰκιστικῶν, καὶ τῶν ὑπ' αὐτοὺς πρωτονοταρίων, χαρτουλαρίων, καὶ βασιλικῶν νοταρίων· ἔτι δὲ δομεστίκων τῶν σχολῶν, δουκῶν κατεπάνω στρατηγῶν καὶ τῶν ἀντιπροσωπούντων αὐτοῖς· ταξιαρχῶν, τουρμαρχῶν, μεραρχῶν, χαρτουλαρίων, τοῦ τε δρόμου, καὶ τοῦ θέματος· κομήτων τῆς κόρτης, δομεστίκων τῶν θεμάτων· δρουγγαροκομήτων, πρωτοκεντάρχων, προελευσιμαίων, καὶ λοιπῶν ταγματικῶν καὶ θεματικῶν ἀρχόντων· πρὸς τούτοις κριτῶν, ἐποπτῶν, στρατευτῶν βασιλικῶν, τῶν εἴς τινας τοῦ Δημοσίου δουλείας ἀποστελλομένων· πρωτονοταρίων, νοταρίων, συνωναρίων, ὡρειαρίων, τοποτηρητῶν, παραφυλάκων, καὶ παντὸς ἑτέρου δουλείαν τοῦ κοινοῦ μεταχειριζομένου, τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήποτε χρόνῳ, καθ' οἱονδήτινα χρόνον, ἐπ' ἀδείας ἔχειν μερικῶς ἢ καθόλου διαμφισβητεῖν τοῖς μοναχοῖς, περὶ τῆς δεσποτείας τῶν εἰρημένων κτημάτων, ἢ τοῦ κλάσματος, ἢ περὶ τοῦ χωρίου Εὐχείας, ἢ τοῦ

πάκτου τούτου· ἐξέκοψε γὰρ τέλεον τὸ πάκτον ἡ βασιλεία μου, καὶ μόνον τὸ δημόσιον αὐτοῦ ἐτύπωσε τὴν μονὴν τοῖς κατὰ καιροὺς διοικηταῖς καταβάλλεσθαι· ἀλλὰ μηδὲ τὴν τοῦ μονοπροσώπου δόσιν πειρᾶσθαι αὖθις ἀνακαινίζειν τὴν παρὰ τῆς βασιλείας μου τέλεον ἀπορριζοτομηθεῖσαν, ἢ αὔξησιν ἐπάγειν τοῖς παλαιοῖς παροίκοις, ἢ ἐπήρειαν τὴν οἱανοῦν αὐτοῖς τε καὶ τοῖς παρὰ τῆς βασιλείας μου δοθεῖσιν εἴκοσι καὶ τέσσαρσιν, ἢ ὅλως ψιλὴν κίνησιν περὶ οἱασδήτινος ὑποθέσεως προσάγειν τοῖς μοναστᾶις, ἐξ οἱουδήτινος τρόπου· ἢ ὅλως λέγειν ὡς τόδε μὲν ἐξεφωνήθη τῷ παρόντι χρυσοβούλλῳ, τόδε δὲ περιελείφθη, ἢ παρερμηνεύειν τὴν ἐγκειμένην τούτῳ δύναμιν, ἀλλὰ πρὸς τὸν σκοπὸν ἀποβλέπειν τῆς βασιλείας μου· ἥτις βούλεται ἐν πᾶσι καὶ διὰ πάντων τὸ ἀπαρεγχείρητόν τε καὶ ἀνεπηρέαστον ἔχειν ταύτην τε τὴν Μονήν, καὶ τὰ ὑπ' αὐτὴν πάντα ὄντα τε καὶ ἐσόμενα, καὶ τοὺς ἐν αὐτοῖς προσκαθημένους παλαιοὺς παροίκους, καὶ τοὺς κατὰ προσθήκην δοθέντας παρὰ τῆς βασιλείας μου εἴκοσι καὶ τέσσαρας· φιλικῶς δὲ καὶ τοῖς μεθ' ἡμᾶς τὰ σκῆπτρα τῆς βασιλείας διαδεξομένοις ἐπισκήπτομεν, μηδὲν ἀναλῦσαι τῶν εἰρημένων, ἤ τι τούτων εἰς ζήτησιν ἐνεγκεῖν, εἴπερ μὴ βούλοιντο καθ' ἑαυτῶν ὑπόδειγμα κακῶν εἶναι, καὶ Θεῷ μὲν φανερῶς προσκροῦσαι, ἔπειτα δὲ καὶ τάξιν ἅπασαν συγχεῖν, καὶ φαῦλον ἀρχέτυπον καὶ τοῖς μετὰ τοῦτο γενέσθαι. Ὡς βεβαίου τοίνυν καὶ ἀσφαλοῦς τοῦ παρόντος χρυσοβούλου τυγχάνοντος, γεγενημένου κατὰ τὸν Ἰανουάριον μῆνα τῆς δωδεκάτης ἰνδικτιῶνος, ἐν ἔτει τῷ ϛφνϐ΄, καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ Θεοπρόβλητον ἐν αὐτῷ ὑπεσημήνατο κράτος.

Κωνσταντῖνος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς Βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων.

Χρυσόβουλον τοῦ αὐτοῦ ἀοιδίμου καὶ εὐσεβοῦς βασιλέως καὶ κτίτορος.

Περὶ τοῦ ἐνθρονισμοῦ τοῦ ναοῦ τῆς Θεοτόκου, καὶ τοῦ χειροτονεῖσθαι διάκονον καὶ πρεσβύτερον ἐκ τῶν ἀδελφῶν παρὰ μητροπολιτῶν ἢ ἐπισκόπων πρὸς οὓς ἂν ἀποστέλλωνται· τὸ αὐτὸ δὲ περιέχει καὶ περὶ τῆς τῶν ἐνταῦθα Ἑβραίων δόσεως.

Τὸν παλαιὸν Ἰσραὴλ καὶ ὁ μέγας βασιλεὺς καὶ Θεὸς παρωσάμενος, τὸν νέον ἐξελέξατο, καὶ τοῦτον ἐκείνου προκρίνας, λαὸν περιούσιον, καὶ μερίδα ἐπιθυμητήν, καὶ κλῆρον οἰκεῖον αὐτῷ ὠνόμασεν. Ἔνθέν τοι καὶ τῷ χριστιανῷ φύλῳ τὸ ἰουδαϊκὸν καθυπέταξε, καὶ τὸ πιστὸν καὶ εὔνουν γένος τοῦ ἀπίστου κατάρχειν καὶ ἀγνώμονος ᾠκονόμησε· ταύτῃ δῆτα τῇ θείᾳ οἰκονομίᾳ καὶ ἡ βασιλεία ἡμῶν κατακολουθοῦσα, πρὸς ταῖς ἑτέραις εὐποιίαις, ἃς πρὸς τὴν ἐν τῇ νήσῳ Χίῳ τῆς ὑπεραγίας Θεοτόκου *Νέαν Μονὴν* ἐπεδείξατο, καὶ τοὺς ἐν ταύτῃ τῇ νήσῳ Ἰουδαίους ἐλευθέρους παντάπασιν ὄντας καὶ μηδαμοῦ ὑποκειμένους, τῇ Μονῇ προσαφώρισε, καὶ ὑποκεῖσθαι ταύτῃ τούτους διωρίσατο θεσπίσασα διὰ τοῦ παρόντος αὐτῆς χρυσοβούλου λόγου, ὥστε ὑπὸ τὴν δηλωθεῖσαν Μονὴν *Νέαν* τελεῖν τοὺς ἀνὰ τὴν Χίον Ἑβραίους, καὶ τούτους ἐξκουσσείας ἀπολαύειν, καταβαλλομένους τὴν κεφαλητιῶνα πρὸς τὴν Μονήν, ἵνα δὲ καὶ δεσπότις δήλη φαμιλιῶν ᾖ, ἐφ' ᾗ τὴν τῆς κεφαλητιῶνος ἀπαίτησιν ἔξουσιν οἱ τῆς *Νέας Μονῆς*, πεντεκαίδεκα ὅλας φαμιλίας ταύτῃ προσαφορίζομεν, ἀφ' ὧν δηλαδὴ καὶ ἡ κεφαλητιὼν ἐτησίως παρὰ τῶν μοναχῶν ἀπαιτηθήσεται· ἐξκουσσευθήσονται δὲ αἱ τοιαῦται φαμιλίαι τῶν Ἰουδαίων, ἀπὸ πάσης ἐπηρείας καὶ ἀγγαρείας κατά τε πρόσταξιν βασιλικὴν ἴσως ἐπαγομένην, καὶ ἄλλως παρά τε τοῦ κατὰ τὴν ἡμέραν στρατηγοῦ, ἢ τοῦ κριτοῦ, ἢ ἑτέρου τινος, τὴν οἱανοῦν ἐμπεπιστευμένου τοῦ δημοσίου δουλείαν, γινομένης· καὶ οὐχ ἕξει τις χώραν ὅλως, εἴτε τῶν στρατηγῶν, ὡς δεδήλωται, εἴτε κρι-

τῶν, ἢ πρωτονοταρίων ἢ λοιπῶν ἀπαιτητῶν, εἴτε ὁ τῆς νήσου ἐπίσκοπος, ἢ ὁ τὴν ἀρχὴν αὐτῆς ἐγκεχειρισμένος, εἴτε ὁ χαρτουλλάριος, ἢ ὁ μεράρχης, ἢ ὁ δρουγγάριος, ἢ οἱ τῶν....(1) προάγεται, ἢ οἱ πρωτοκένταρχοι, καὶ οἱ ταξιῶται τοῦ τε στρατηγοῦ καὶ τοῦ κριτοῦ, ἢ ἕτερός τις ἀγγαρείᾳ τινι, ἢ ἐπηρείᾳ τούτους καθυποβάλλειν, ἢ ἀφαιρεῖσθαί τι τὸ σύνολον ἐξ αὐτῶν κατ' ἐπήρειαν, ἢ πρόφασιν διαβιβάσεως Ῥῶς, ἢ ἑτέρων τινῶν ἐθνικῶν, εἴτε τῶν κρατουμένων ἀγαρηνῶν, καινοτομεῖν αὐτοὺς ἢ καταβλάπτειν, ἢ διασείειν τινὸς εἴδους ἕνεκεν· πάσης γὰρ χειρός τε καὶ ἐξκουσσείας ἀρχοντικῶν τε καὶ ἀρχιερατικῶν προσώπων τούτους ἐλευθεροῦμεν, καὶ μόνῃ ὑποκεῖσθαι τῇ *Νέᾳ Μονῇ* ὁριζόμεθα. Πρὸς τούτοις διακελεύεται ἡ βασιλεία ἡμῶν, καὶ τὸν ἱερὸν τῆς τοιαύτης Μονῆς ναὸν ἐνθρονισθῆναι παρ' οὗ ἂν ἐθέλοιεν τῶν ἐπισκόπων οἱ περὶ ταύτην ἀσκούμενοι· εἴ ποτε χρεία καλεῖ τινα τῶν ἀδελφῶν διάκονον, ἢ ἱερέα χειροτονηθῆναι, παρ' οὑτινος ἂν πάλιν οἱ αὐτοὶ βουληθεῖεν χειροτονία προβήσεται· πλὴν οὐ τῇ ἀφορμῇ τοῦ ἐνθρονισμοῦ, ἢ τῆς χειροτονίας, δίκαιόν τι ἐπὶ τῇ *Νέᾳ Μονῇ* ὁ ἐνθρονίσων, ἢ ὁ χειροτονήσων ἕξει, ἢ ἀναφορᾶς ἐντεῦθεν, ἢ σφραγῖδος δράξεται ἡγουμένου, ἢ ὅλως εἰς κατακυρίευσιν τῆς Μονῆς προβαλεῖται τὴν οἱανοῦν πρόφασιν· τὸ γὰρ τοιοῦτον τέλεον ἀπείργομεν, καὶ ἐλευθέραν εἶναι τὴν Μονὴν παντὸς ἀρχοντικοῦ καὶ ἱερατικοῦ προσώπου βουλόμεθα, κατὰ τὸ προγεγονὸς τῆς βασιλείας ἡμῶν χρυσοβούλλιον. Διὸ παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων, γενικῶν καὶ στρατιωτικῶν λογοθετῶν, τῶν ἐπὶ τῆς ἡμετέρας σακέλλης, καὶ τοῦ βεστιαρίου, οἰκονόμων τῶν εὐαγῶν οἴκων τῶν ἐπὶ τῶν οἰκειακῶν καὶ τῶν ἐφόρων· τῶν βασιλικῶν κουρατοριῶν, εἰδικῶν, γηροτρόφων, καὶ τῶν ἐπὶ τοῦ θείου ἡμῶν ταμείου τοῦ φύλακος(2)· ἰουλίῳ ἔτει ϛφνζ' ἰνδικτιῶνος β.

(1) Χάσμα ἔν τε τῷ τῆς Χάλκης καὶ ἐν τῷ ἁγιοταφικῷ χειρογράφῳ.

(2) Ἡ συνέχεια οὐχ εὑρηται ἐν τῷ χειρογράφῳ τῆς Χάλκης καὶ τῷ ἁγιοτα-

Ἕτερον ἐπικυρωτικὸν χρυσόβουλλον τοῦ αὐτοῦ ἀοιδίμου βασιλέως περὶ τῶν Καλοθηκίων.

Ἥρκει μὲν τῇ Μονῇ τῆς ὑπεραγίας Θεοτόκου τῇ *Νέᾳ*, τῇ κατὰ τὴν Χίον διακειμένῃ, ἡ προβᾶσα παρὰ τῆς βασιλείας μου χρυσόβουλλος γραφὴ ἐπικυροῦσα τὴν παρὰ τῶν υἱῶν τοῦ Κωνσταντίνου ἐκείνου ἐκτεθεῖσαν πρᾶσιν, ἐπὶ τῷ πατρικῷ αὐτῶν κτήματι τῷ οὕτω λεγομένῳ τοῦ Κατακαλὼν ἀπὸ τῶν κτησαμένων αὐτό, ἰδίαν δὲ φέροντι κλῆσιν τὰ Καλοθήκια· ἀλλ' ἐπεὶ οἱ πρᾶται ἐκταράξαι τοὺς μοναχοὺς τῆς τοιαύτης Μονῆς ἠβουλήθησαν καὶ σκυλμὸν αὐτοῖς ἐμποιῆσαι, ἰδοὺ καὶ διὰ τῆς παρούσης ἑτέρας χρυσοβούλλου γραφῆς ἐμπεδοῦται τὸ πρᾶγμα, ὥστε οἱονεί τινι διπλῷ τευχίῳ τὴν ὑπόθεσιν περιφρουρεῖσθαι, καὶ πανταχόθεν τοὺς κατὰ τῆς πράσεως λέγοντας ὡς πορρωτάτω διώκεσθαι· ἡ γὰρ βασιλεία μου μετὰ τὴν διάγνωσιν καὶ τιμωρίαν τοῖς κατὰ τῆς πράσεως τολμήσασι φθέγξασθαι ἐπήνεγκεν· οὗτοι γὰρ τὸ κατὰ τοῦ χρυσοβούλλου τῆς βασιλείας μου λέγειν παρασιωπήσαντες ψήφισμα ἔλαβον· ἀλλ' οὐ διέλαθον· διὰ τοῦτο τοίνυν καὶ πᾶσα τούτοις ἀρτίως ἀποκλείεται θύρα, ὥστε μήτε τὸ τῆς παραγραφῆς δίκαιον ὁδὸν ἔχειν εἰς τὸ ἐξῆς προβάλλεσθαι, μήτε μὴν ὡς ἔξωθεν τῆς πράσεως οἱ μοναχοὶ ὑποσχέσεις πρὸς αὐτοὺς ἐποιή-

φικῷ, ἀλλ' ἀναπληροῦται ἔκ τε τοῦ πρώτου χρυσοβούλλου καὶ τοῦ δευτέρου. Σημειωτέον ὅτι ἀποσπάσματά τινα ἔκ τε τοῦ Β' καὶ τοῦ Γ' ἔσωσεν ὁ Νικηφόρος ἐν τῇ Ἱστορίᾳ τῆς Νέας Μονῆς, ἅπερ ἐν τῇ ἐκδόσει τοῦ Γρ. Φωτεινοῦ εὑρίσκομεν. Τὰ Νεαμονήσια· σελ. 88, 89 καὶ 90. Ἔχουσι δὲ ταῦτα ὡς ἐν ἀμφοῖν τοῖν χειρογράφοιν· διορθοῦται δὲ τὸ παρ' ἐμοὶ *ἀμφιέναι* γραφόμενον *ἐφιέναι*, τὸ δὲ ἐξκουσσείας τοῦ Γ' χρυσοβούλλου κακῶς ὁ Νικηφόρος ἀνέγνω ἐξουσίας· ἀλλ' ἐνταῦθα τὸ παρὰ Νικηφόρῳ χρυσόβουλλον προστίθησι μετὰ τὸ *πάσης χειρός τε καὶ ἐξκουσσείας ἀρχοντικῶν τε καὶ ἀρχιερατικῶν προσώπων τούτους ἐλευθεροῦμεν*, ταῦτα· καὶ ἀπὸ πάσης ἐπηρείας καὶ ἀγγαρείας, ἅπερ ἐν τοῖς χειρογράφοις χαλκηνῷ καὶ ἁγιοταφικῷ φέρονται ἀνωτέρω, ὡς εἶδεν ὁ ἀναγνώστης.

σαντο, μηθ' ὡς καὶ ἑτέροις αὐτῶν ἴσως συγγενέσι διαφέρει τι τῶν τοῦ κτήματος (1).

Τοῦ αὐτοῦ χρυσόβουλλον περὶ τῶν χιλίων μοδίων τοῦ σίτου, τοῦ ἀπὸ τῶν Βησσῶν (2).

Ἀρετῆς ἀντιποιουμένοις ἀνδράσι, καὶ τὸν χοῦν καὶ τὰ τοῦ χοὸς ἀποσκευασαμένοις, καὶ πρὸς τὴν ἄνω ζωὴν ἐπειγενομένοις, καὶ σπεύδουσι συναντιλαμβάνεσθαί τε τῆς ὁρμῆς καὶ συνεπιρρωνύειν αὐτοῖς τὴν προθυμίαν, καὶ χεῖρα βοηθείας ἐκ τῶν ἐνόντων παρέχειν, καὶ τὰς ἔξωθεν περικόπτειν φροντίδας καὶ περισπασμούς, μεγίστην οἶδεν φέρειν ψυχῇ τὴν ὄνησιν, καὶ τοῖς ἀσύλοις ταμείοις θησαυρόν τινα τίμιον ἐναποτίθεσθαι. Ὅθεν καὶ ἡ βασιλεία ἡμῶν τὰ ψυχὴν ὠφελοῦντα μεταδιώκουσα, καὶ τῆς ὄντως ἐρῶσα μακαριότητος, καὶ τοῖς κατὰ τὴν Μονὴν τῆς Θεομήτορος ἡμῶν δεσποίνης ἀσκουμένοις μοναχοῖς, ἥτις *Νέα* μὲν κέκληται, κατὰ δὲ τὴν νῆσον Χίον ἵδρυται, ἀρετῆς οὖσιν ἐργάταις, καὶ καθ' ἑαυτοὺς ζῆν πειρωμένους, συνεφήψατο τῆς σπουδῆς· καὶ ὡς ἄν, μὴ πρὸς τὰς τοῦ ζῆν ἀφορμὰς περισπώμενοι, ἐνίοτε τῶν θείων

(1) Μέμνηται τῆς διὰ τοῦ χρυσοβούλλου τούτου καὶ τῆς διὰ τοῦ Α΄ δωρεᾶς τοῦ Μονομάχου ὁ Νικηφόρος γράφων ὅτι ὁ αὐτοκράτωρ οὗτος «ἐπεκύρωσε καὶ τὰ ἐν τῇ ἀλλοδαπῇ Νεαμονικὰ μετόχια· οἷον τὸ . . . καὶ τὸ ἐν τῷ θέματι τῶν Θρακησίων μέγα καὶ ἀξιόλογον, ὅπερ ἐξηγόρασαν οἱ Νεαμονήσιοι ἀπὸ τῶν υἱῶν τῶν Κατακαλῶν, Καλοθήκη καὶ Καλοθήκια λεγόμενον, μετὰ εἰκοσιτεσσάρων παροίκων, οὓς εἶχεν ἀναποσπάστους πρὸς γεωργίαν καὶ φύλαξιν, ἐν οἷς καὶ ἑτέρους εἰκοσιτέσσαρας ἐδωρήσατο πανεστίους ἐν τῇ Χίῳ». Βλ. Φωτεινοῦ τὰ Νεαμονήσια, σελ. 89.

(2) Ὁ δυνάμενος φωτίσαι περὶ τούτων ἡμᾶς ἡγούμενος τότε τῆς Μονῆς ὁ καὶ χρονογράφος αὐτῆς Γρ. Φωτεινὸς ἀγνοεῖ «ποῦ αἱ Βῆσσαι τῆς Ἀταίας καὶ τίς ἡ Ἀταία»· βλ. τὰ Νεαμονήσια, σελ. 86. Μέμνηται δὲ τοῦ χρυσοβούλλου τούτου ὁ ἀοίδιμος Νικηφόρος.

ὑμνῳδιῶν καταλιγυρῶσι, καὶ τῆς κατὰ Θεὸν πολιτείας ἐμποδὼν αὐτοῖς εἴη τὸ μεριμνᾶν ὅθεν καὶ τὰ ἀναγκαῖα πορίσαντα (1), ἐτύπωσε παρέχεσθαι εἰς τὸν μακρὸν καὶ διαιωνίζοντα χρόνον πρὸς τὴν κατ' αὐτοὺς Μονήν, κατὰ τὸν καιρὸν τοῦ θέρους ἀπὸ τοῦ ἀφωρισμένου τῷ σεκρέτῳ τοῦ τροπαιοφόρου κτήματος τῶν Βησσῶν (2) τοῦ κατὰ τὴν Ἄταιαν διακειμένου, σίτου μοδίους χιλίους· εἰ γὰρ καὶ πρότερον ἡ τοιαύτη χιλιὰς τοῦ σίτου ἐτυπώθη δι' ἑτέρου χρυσοβούλλου τῆς βασιλείας μου, ἀπὸ τῶν κτημάτων τοῦ Ἕλους (3)

(1) Ἐν τοῖς *παλαιογράφοις* φέρεται ἀπ' ἀρχῆς μέχρι τοῦ μέρους τούτου τὸ παρὸν χρυσόβουλλον· τὰ Νεαμονήσια· σελ. 179-180.

(2) Νοεῖ τὸ σεκρέτον τῆς Μονῆς τῶν Μαγγάνων, ἧς τὴν οἰκοδομὴν εἰς πέρας ἤγαγεν ὁ Μονομάχος· μέμνηται δὲ ὁ Νικηφόρος τῆς δωρεᾶς ταύτης τοῦ Μονομάχου γράφων «ἀπὸ τῶν κατὰ τὴν Ἀταίαν Βησσῶν, ὑποκειμένων εἰς τὸ τροπαιοφόρον, εἰς τὴν ἄλλως λεγομένην δηλονότι Μονὴν τῶν Μαγγάνων, ὑπὸ τοῦ αὐτοῦ αὐτοκράτορος κτισθεῖσαν ἐν Βυζαντίῳ, ἐπ' αὐτῶν, λέγω, διακελεύει δίδοσθαι τῇ Νεαμονῇ σῖτον μοδίων χιλίων· χωρὶς δὲ ἀπὸ τῆς αὐτῆς Μονῆς τοῦ τροπαιοφόρου ἔτι τριάκοντα μοδίους, καὶ νουμίων, φησί, μιλιαρίσια τριάκοντα»· τὰ Νεαμονήσια, σελ. 86. Τὸ περὶ τούτου χρυσόβουλλον τοῦ Μονομάχου κεῖται ἐκδεδομένον ὑπὸ Ἰ. Σακκελίωνος ἐν *Πανδώρᾳ*, τόμ. ΙΖ', σελ. 556. βλ. περὶ τῆς τῶν Μαγγάνων Μονῆς ἐν λέξει: *Κωνσταντινούπολις* ἐν λεξικῷ Ἱστορίας καὶ Γεωγραφίας, τῷ ὑπὸ τῆς συντάξεως τοῦ *Νεολόγου* ἐκδιδομέν-, τόμ. Γ', σελ. 1039, στήλην α', Δουκαγγίου Constant. Christiana τῆς ἐκδόσεως 1729, βιβλ. Δ'. σελ. 85, στήλην α'-β', Σέκρετον τῶν Μαγγάνων ἐν Κωνσταντινουπόλει ἠγνοεῖτο τέως, ὁ δὲ τὰ παρόντα γράφων, ἀκολουθῶν τῷ κλεινῷ Δουκαγγρίῳ ἠρίθμησεν ὅσα κἀκεῖνος σέκρετα, ἤτοι τὸ τοῦ μεγάλου δρουγγαρίου, τὸ τῶν δημοσιακῶν, τὸ τοῦ πρωτασηκρίτου, τὸ τῆς Χαλκῆς, τὸ τοῦ δικαιοδότου, οἷς ὁ Δουκάγγιος προστίθησι τὸ τῆς Φιάλης· ἐν δὲ τοῖς ὑπὸ τοῦ σεβαστοῦ φίλου Ἱεροθέου ἱερομ. Φλωρίδου ἀναγραφεῖσι, καὶ τοῖς ὑπ' ἐμοῦ ἐκδιδομένοις πιττακίοις καὶ χρυσοβούλλοις ἀναφέρονται *τρία ἔτι σέκρετα ἐν Κωνσταντινουπόλει: τὸ σέκρετον τοῦ Μυρελαίου, τὸ σέκρετον τοῦ Ἑβδόμου καὶ τὸ σέκρετον τῶν Μαγγάνων*· ἴδε Φλωρίδου ἀπαρίθμησιν τῶν ἐν τῇ Μονῇ τῆς Πάτμου ἐπισήμων ἐγγράφων, ἐν *Πανδώρᾳ*, τόμῳ ΙΘ', σελ. 340. Μ. Ἰ. Γεδεών *Μνημεῖα τοῦ χριστιανισμοῦ ἐν ταῖς Καλύδναις*, καὶ *Κωνσταντινούπολιν* ἐν Λεξικῷ κτλ. σελ. 1022.

(3) Νοεῖ ἆρά γε τὴν ἐπισκοπὴν Ἕλους, τὴν ὑποκειμένην τῷ μητροπολίτῃ Πατρῶν; βλ. τὴν διατύπωσιν Λέοντος τοῦ Σοφοῦ παρὰ Ῥάλλῃ καὶ Ποτλῇ, ἐν Συντάγματι ἱερῶν Κανόνων, τόμ. Ε', σελ. 482.

παρέχεσθαι τῇ Μονῇ· ἥτις δὴ καὶ παρείχετο κατὰ τὴν ἐκείνου τοῦ χρυσοβούλλου περίληψιν· ἀλλ' ἐπεὶ τὸ μὲν τοιοῦτον κτῆμα τοῦ Ἅλους ἐδωρήθη παρὰ τῆς βασιλείας μου τῇ Σεβαστῇ (1) ἠλευθερωμένον τῆς εἰρημένης δόσεως τοῦ σίτου, καὶ τὸ προγεγονὸς χρυσόβουλον ἐσχόλασε, τυποῖ τὸ κράτος ἡμῶν ὡς εἴρηται ἀπὸ τοῦ δηλωθέντος κτήματος τῶν Βησσῶν (2).

Ἐπικυρωτικὸν χρυσόβουλλον τοῦ αὐτοῦ βασιλέως τοῦ μή τινα ἐξόριστον πέμπεσθαι εἰς τὴν Μονῆν.

Ἐποικοδομεῖν ἐπὶ τῷ θεμελίῳ τῶν ἀγαθῶν πράξεων, καὶ ἀεί τινας προσθήκας ταύταις ἐπινοεῖν, ὥστε τὸ καλὸν ἐπὶ πλέον ἐδρά-

(1) Ἔστι δ' ἡ Σεβαστὴ αὕτη πιθανῶς ἡ Σκλήραινα, περὶ ἧς παρὰ Ζωναρᾷ βιβλ. ΙΖ', 21 κεῖνται ταῦτα· «ἀνάγεται τοίνυν ἐκ Μυτιλήνης ἡ Σκλήραινα. . . . τοῦ χρόνου δὲ προϊόντος, καὶ βασίλειος αὐτῇ δορυφορία νενέμητο, καὶ ὁ οἶκος αὐτῇ μετεσχηματίσατο εἰς ἀνάκτορον . . . μέχρι μὲν οὖν τινος (ὁ Μονομάχος) ἐσκηνοποίει τὸν ἔρωτα, καὶ ὥσπερ ἠρυθρία πρὸς τὸ γινόμενον· εἶτα καὶ τὴν αἰδῶ καὶ τὴν σκηνὴν ἀποτίθεται, καὶ τῇ γυναικὶ συνῆν οὐχ ὡς παλαινῇ, οὐδ' ὡς ἠμιγάμῳ, ἀλλ' ὡς ἐμφανῶς συνευνέτιδι, καὶ αὐτῇ ἐκ τῶν βασιλικῶν ταμείων καθ' ἑκάστην ἐπέρρει τὰ χρήματα κατὰ ποταμούς, καὶ φλέβες ἀνεστομοῦντο χρυσίτιδες, καὶ ἀπαρακαλύπτως αὐτῇ προσεφοίτα ὁ βασιλεύς. . . . τετίμητο δὲ ἡ γυνὴ Σεβαστή, αὐτῇ πρώτῃ τῆς πρώην βασιλικῆς ἀπονεμηθείσης τιμῆς». Λέγω ὅτι πιθανῶς ἐννοεῖ τὴν Σκλήραιναν, διότι καὶ ἑτέραν αὐτοῦ παλλακὴν ὁ Μονομάχος «ἔτι φλεγμαίνων περὶ τοὺς ἔρωτας, μείρακά τινα ὅμηρον δοθεῖσαν Ῥωμαίοις ἐξ Ἀλανῶν, παιδάριόν τινος τῶν παρ' ἐκείνοις ἀρχηγετούντων» ὠνόμασε Σεβαστήν· ἐγένετο δὲ τοῦτο μετὰ τὸν θάνατον τῆς αὐτοκρατείρας Ζωῆς· τῷ 1050 (Ζωναρᾷ ΙΖ', 28). Περὶ ταύτης γράφει Ψελλός, παρὰ Κ. Σάθᾳ· Μεσαιων. βιβλ. τόμ. Δ', σελ. 177»· ἡ τοίνυν μείραξ θυγάτριον τοῦ ἐκεῖσε ἐν Ἀλανίᾳ βασιλεύοντος ἦν, οὔτε τὸ εἶδος ἀξιοθέατον, οὔτε τὴν θεραπείαν εὔδαιμον, δυσὶ δὲ μόναις κεκόσμητο χάρισι, λευκὸν ἦν τὴν χροιάν, καὶ καλλίστοις ἐξήστραπτεν ὄμμασι .... μεταδίδωσι δὲ τοῦ ὀνόματος Σεβαστὴν ἀνειπών, δορυφορίαν τε αὐτῇ βασιλικὴν διατίθεται, καὶ πάσας ἐπ' αὐτῇ θύρας αἰτήσεων ὑπανοίγνυσιν, ἐπιρρεῖ τε αὐτῇ χρυσοῦ ποταμοὺς ῥέοντας καὶ ὀχετοὺς ὀλβίους καὶ εὐδαιμονίας ἄπειρα ῥεύματα».

(2) Κολοβὸν τὸ χρυσόβουλλον, ἄγνωστον δ' ἄρα τὸ ἔτος, ἐν ᾧ ἀπελύθη.

ζεσθαι, καὶ στερρωτέραν λαμβάνειν παγίωσιν, καὶ πάσαις προσβολαῖς ἐναντίαις ἀτίνακτον γίνεσθαι, καὶ τὸ ἰσχυρὸν ἰσχυρότερον ἀπεργάζεσθαι ταῖς ἀρίσταις ἐπιποιήσεσι, μεγαλοπρεπὲς καὶ τῷ ὄντι βασιλικόν· οὕτω γὰρ τὸ ἀγαθὸν συντιθέμενόν τε καὶ συναρμολογούμενον, καὶ εἰς ἑνὸς ἔργου συμπλήρωσιν τελεσιουργούμενον, πληρεστάτην καὶ τὴν ἐπ' αὐτῷ μισθαποδοσίαν τῷ δημιουργῷ τούτῳ χαρίζεται. Διὸ καὶ ἡ θεοστεφὴς ἡμῶν γαληνότης τῇ ἐν τῇ Χίῳ (1) *Νέᾳ Μονῇ* τῆς ὑπεραγίας Θεοτόκου, ἣν ἄνδρες εὐλαβεῖς ἐκ βάθρων αὐτῶν ἀνεγείραντες, ἐν αὐτῇ καὶ τὰς καλύβας ἐπήξαντο, καὶ κατὰ τὰς φιλεργοὺς μελίσσας τὸ καλὸν ἐν αὐταῖς τῆς ἀρετῆς μέλι φιλοπόνως συλλέγοντες πάντοθεν, ὥσπερ ἐν σίμβλοις ἐναποτίθενται τὸν ἐκ τούτου φωτισμὸν ἐκεῖνον ἀίδιον, καὶ τὴν γλυκυτάτην τῆς ἀφθάρτου τρυφῆς ἀπεκδεχόμενοι μέθεξιν, ἔφθασε μὲν ἤδη τὸ αὐτοδέσποτον δι' ἑτέρου χρυσοβούλλου λόγου χαρίσασθαι ὥστε μή τινα δυνατῶς ἔχειν χεῖρας ἐπιβάλλειν ταύτῃ, καὶ ὑπὸ τὴν ἰδίαν καθέλκειν αὐτὴν ἐξουσίαν· ἀπέκλεισε δὲ καὶ πᾶσι τοῖς ἐπηρεασταῖς τὰς εἰς αὐτὴν εἰσόδους, καὶ ἄδειαν παρέσχεν οὐδενὶ τῶν ἁπάντων, ἀπό τε τῶν μεγίστας μετιόντων ἀρχάς, καὶ ἕως τῶν τελευταίων, ζημίαν τινί, ἢ κακώσει, ἢ ἐπηρείᾳ ῥητῇ τε καὶ ἀνωνύμῳ ταύτην καθυποβάλλειν, ἢ τὰ ὑπ' αὐτήν, ἢ τοὺς προσκαθημένους ἐν αὐτοῖς· ἐπεὶ δὲ καὶ ἕτερόν τι τοὺς μοναχοὺς ὑπέθραττε καὶ μειζόνως ἐλύπει, καὶ ῥίνης δίκην προσεδαπάνα τὴν τούτων ζωήν, ἢ τῶν ἐκεῖσε πεμπομένων πολλάκις ἐξορίστων ὄχλησις, ἐπικόπτουσα τούτοις τὸ ἥσυχον, καὶ διαταράττουσα τὸ γαλήνιον ἡ βασιλεία ἡμῶν τὸ ἀπερίσπαστον ὅλως καὶ ἀπερικτύπητον τούτοις περιποιουμένη, ἵνα κατὰ μόνας ἑαυτοῖς τε καὶ τῷ Θεῷ ζῶντες, καὶ ἀμέσως ὡς δυνατὸν προσομιλοῦντες αὐτῷ, προσεκτικώτερόν τε καὶ ἐκτενέστερον ὑπὲρ ἡμῶν καὶ τοῦ κόσμου

(1) Τῇ ἐν Χίῳ παρὰ Φωτεινῷ, ἐν *παλαιογράφοις* ἐκδιδομένου τεμαχίου τινὸς τοῦ παρόντος χρυσοβούλλου· τὰ Νεαμονήσια, σελ. 177.

παντὸς τὰς δεήσεις προσφέροιεν (1), καὶ τοῦτον αὐτοῖς κατέστειλε τὸν θαυμασμόν, καὶ τὸν ἐπὶ τούτῳ κατέπαυσε τάραχον, καὶ τὸν φόβον ἀφεῖλεν αὐτῶν, καὶ τὴν σκυθρωπότητα, καὶ πάντῃ τὸ ἔρημον (ἤρεμον;) ἐχαρίσατο. Διορίζεται γὰρ (2) καὶ διὰ τοῦ παρόντος αὐτῆς χρυσοβούλου σιγιλλίου, ὥστε πρὸς τῇ ἐλευθερίᾳ τῶν ἄλλων ἐπηρειῶν, μηδὲ ἐξόριστον (3) τινὰ ἢ κατάκριτον εἰς αὐτὴν παραπέμπεσθαι· ἀποτρέπεται γὰρ τοῦτο ἡ βασιλεία ἡμῶν, καὶ οὐ βούλεται νῦν ἢ μετέπειτα ἢ προφάσει διηνεκοῦς ἐξορίας, ἢ προσκαίρου διαγωγῆς, πρὸς τὴν τοιαύτην Μονὴν ἀποστέλλεσθαι τινά· ἀλλὰ καθαρεύειν τοὺς ἐν αὐτῇ μοναχοὺς πάσης ὀχλήσεως, πάσης κακώσεως, καὶ περισπασμοῦ παντὸς καὶ διασεισμοῦ· ἐπισκήπτει δὲ φιλικῶς καὶ τοῖς μετ' αὐτὴν ἐπὶ τὸ βασίλειον ἀναβησομένοις θρόνον συντηρῆσαι ταύτην τὴν ἐντολὴν ἀπαράθραυστον (4), ἵνα καὶ αὐτοὶ τῆς ἴσης ἡμῖν ἀντιμισθίας, ἐπὶ τούτῳ τῷ καλῷ κοινωνήσοιεν. Διὰ τοῦτο γὰρ καὶ τὸ παρὸν σιγίλλιον χρυσόβουλλον, πρὸς περισσοτέραν βεβαίωσιν, διὰ κινναβάρεως ἐπεσημάνθη, καὶ χρυσῇ βούλλῃ ὑπεσφραγίσθη.

Τὸ ἴσον τοῦ τιμίου καὶ προσκυνητοῦ βασιλικοῦ πιττακίου τοῦ καταστρωθέντος εἰς τὸ σεκρέτον τοῦ εἰδικοῦ κατὰ τὴν ιγ'.

Ἡ βασιλεία μου ἐτύπωσε ῥογεύεσθαι καθ' ἕνα ἕκαστον χρόνον, ἤγουν ἐν τῷ καιρῷ τῆς ῥόγας τῆς Συγκλήτου ἄνωθεν τῶν χρυ-

(1) Προσφέρωσι παρὰ Νικηφόρῳ· Νεαμον. σελ. 92.
(2) Ἡ βασιλεία ἡμῶν παρὰ Νικηφόρῳ· αὐτόθι.
(3) Μηδ' ἐξόριστόν τινα παρὰ Νικηφόρῳ· Νεαμον. σελ. 92.
(4) Μετὰ τὸ τεμάχιον τοῦ χρυσοβούλλου ὁ Νικηφόρος προσέθηκε ταῦτα· «ἐπὶ δὲ τούτοις παρακαλεῖ καὶ τοὺς μετ' αὐτὸν βασιλεύσοντας φυλάττειν ἀκριβῶς τὰ τεθεσπισμένα αὐτῷ».

σοτρικλινάτων πρωτοσπαθαρίων, τὴν Μονὴν τῆς ὑπεραγίας Θεοτόκου τῆς Δεκαπολιτίσσης λόγῳ τῆς ἀφῆς τῆς κανδήλας τοῦ τάφου τοῦ μοναχοῦ Ἰωάννου τοῦ ὀρφανοτρόφου, καὶ τῶν μνημοσύνων αὐτοῦ νομίσματα κδ΄. Ὡσαύτως ἐτύπωσε ῥογεύεσθαι καὶ τὴν ἐν τῇ Χίῳ Μονὴν τῆς ὑπεραγίας Θεομήτορος ἕτερα νομίσματα κδ΄, λόγῳ τῶν μνημοσύνων καὶ τῆς ἀφῆς τῆς κανδήλας τοῦ τάφου τοῦ μοναχοῦ Θεοδώρου καὶ γεγονότος νωβελισίμου· καὶ κελεύει σοι καταστρῶσαι τὰς δηλωθείσας μονάς, καὶ τὰς τυπωθείσας δίδοσθαι ῥόγας αὐταῖς ὑπὲρ τῶν μνημονευθέντων ἀνδρῶν, ἐν τοῖς τοῦ ὑπὸ σὲ σεκρέτου χαρτίοις· καὶ παρέχειν ταῦτα πρὸς αὐτὰς καθ' ἕκαστον χρόνον, ὡς δεδήλωται, ἀνυστερήτως· ποιῆσαι δὲ καὶ τὸ ἴσον· ϛφξϛ΄ [κατὰ μῆνα] μάϊον, ἰνδικτιῶνος ια΄ (1).

Τὸ ἐπικυρωτικὸν χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Δούκα, περὶ τῶν χρυσοβούλλων τῶν προβεβασιλευκότων (2).

Τὸ ταῖς Θεοφιλέσι καὶ πρὸς Θεὸν ὡς ἀληθῶς τὴν ἀναφορὰν ἀγούσαις συναίρεσθαι πράξεσι δίκαιον ἅμα καὶ λυσιτελές, ψυχῆς τε ἄρα δεῖγμα τοῦτο βασιλικωτάτης, καὶ Θεὸν θεραπεύειν προτεθυμημένης, ὡς τῆς ἐντεῦθεν ἀντιταλαντευομένης μισθαποδοσίας παρὰ τοῦ σταθμῷ καὶ ζυγῷ ἀντιμετροῦντος τὰ ἡμέτερα, ἀποστερεῖσθαι μὴ ἀνεχομένης· ἐπαινετὸν μὲν γὰρ καὶ τὸ ἀρχῆθεν ἐφευρεθὲν καὶ πραχθὲν ὑπό τινων ἀγαθόν· ἀξιεπαινετώτερον δὲ πολλῷ πλέον τὸ τὴν ἀγαθὴν πρᾶξιν ἐμπεδῶσαι, καὶ τὸ ἀπερικλόνητον καὶ ἑδραῖον αὐτῇ περιποιήσασθαι, ὡς ἐντεῦθεν τοῦ μονιμωτέρου

(1) Ἡ ια΄ ἰνδικτιὼν συμπίπτει ἀκριβῶς τῷ προσγραφομένῳ ἔτει· ὥστε τὸ ἐν τῇ ἐπιγραφῇ ιγ΄ ἀναφέρεται πιθανῶς εἰς τὴν ἡμέραν τοῦ μηνὸς [μαΐου].

(2) Δύο χρυσοβούλλων τοῦ Κωνσταντίνου Δούκα γίνεται μνεία ἔν τε τοῖς *παλαιογράφοις* καὶ παρὰ Νικηφόρῳ, ἐνῷ τρία τοῦ Δούκα ἐνταῦθα ἐκδίδονται.

καὶ διαρκεστέρου ἐπιμνηστευομένου ταύτῃ, ὥσπερ δὴ λυσιτελὲς καὶ λόγων ἄξιον τὸ τοῖς λαμπροῖς οἰκοδομήμασι καὶ ποικίλοις χρυσῆν ἐπιτιθέναι τὴν ὀροφήν, κἀντεῦθεν ἐπίδοσιν τῷ καλῷ διδόναι, καὶ τῷ λαμπρῷ τὸ φαιδρὸν προστιθέναι· διά τοι τοῦτο καὶ ἡ Θεοστεφὴς ἡμῶν γαληνότης ταῖς εἰς Θεοῦ θεραπείαν ἀποτελευτώσαις εὐποιίαις καὶ πράξεσιν ἐπιγαννυμένη, καὶ πλέον ἐπὶ ταύταις, ἢ ἐπὶ τῷ τῆς βασιλείου ἀρχῆς διαδήματι καὶ τῇ ἀλουργίδι ἐπευφραινομένη καὶ χαίρουσα, ἐπεὶ (1) τοὺς εὐλαβεστάτους μοναχοὺς τῆς *Νέας Μονῆς* τῆς ὑπεραγίας Θεοτόκου, τῆς ἐν τῇ νήσῳ τῇ Χίῳ διακειμένης, ἤγουν τόν τε μοναχὸν Νικήταν, καὶ τὸν μοναχὸν Ἰωάννην, εὗρε θερμῶς διαλιπαροῦντας καὶ δεομένους αὐτῆς, ὥστε χρυσόβουλλον σιγίλλιον γενέσθαι τούτοις εἰς ἐπικύρωσιν τῶν προσκτηθέντων τῇ ῥηθείσῃ ὑπ' αὐτοὺς Μονῇ χρυσοβούλλων σιγιλλίων, οὐ δεῖν ἔγνω ἡ γαληνότης ἡμῶν τὴν τούτων ἀποπέμψασθαι δέησιν, ἀλλὰ φιλαγάθως οὗς ὑποκλίνασα τούτοις εὐήκοον· χαίρει γὰρ ἐπὶ ταῖς τοιαύταις εὐποιίαις, καὶ φθάνει ἐπὶ ταῖς τῶν θείων πραγμάτων ἀναφοραῖς τὰς αἰτήσεις ἡ πρᾶξις αὐτῆς· ὁμαλῶς τε προσήκατο ταύτην, καὶ βασιλικῶς καὶ μεγαλοπρεπῶς ἐξεπέρανε, θᾶττον ἢ λόγος, πρὸς τὴν ἐκπλήρωσιν αὐτῆς· κατηπειγμένως σπεύσασα ἔνθεν τοι τὸ παρὸν ἐκθεμένη χρυσόβουλον σιγίλλιον τούτοις ἐνεχείρισε.

Τὸ πρωτότυπον χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Δούκα τὸ ἐπικυροῦν τὸ τοῦ Μονομάχου χρυσόβουλλον τὸ περὶ τῶν χιλίων μοδίων σίτου.

Πολλαὶ μοναὶ παρὰ τῷ Θεῷ, τοῦτο φησὶ μὲν ἡ θεία Γραφή,

(1) Ἐντεῦθεν ἄρχεται τὸ ἐν τοῖς *παλαιογράφοις* τεμάχιον τοῦ χρυσοβούλλου λῆγον εἰς τό: σπεύσασα. Νεαμονήσια· σελ. 18?.

διδάσκουσι δὲ καὶ οἱ θεῖοι σοφοί, καὶ κατ' ἀξίαν τῶν ἀξίων ἑκάστῳ παρὰ τῆς ἄνω χειρὸς ἀξίως καὶ ἀδεκάστως διδόμεναι· ἀρεταὶ δὲ θείων ἀνδρῶν, πολυειδεῖς καὶ διάφοροι, οὐ πρὸς αὐτοὺς διαμεριζόμεναι, παρὰ δὲ τούτων ἐφευρισκόμεναι· ὁ μὲν γὰρ τήνδε κατωρθωκὼς ὑπηρέτης Θεοῦ καὶ θεῖος νενόμισται· ὁ δὲ τὴν ἄλλην διηνυκώς, ἑτέρας ἔτυχε καὶ τῆς τάξεως· ἕτερος δὲ τὰς μὲν ἢ τὰς πάσας περιδησάμενος ἄνεισι θαρραλέος πρὸς τὸν τὰ στέφη παρέχοντα, καὶ τούτων ἕκαστος μετέχει τῶν δωρημάτων καθάπερ ἐσπούδασεν· ὅπως δὲ τῇ παρούσῃ γραφῇ τὸ τοιοῦτον ἐγγέγραπται, προϊὼν ὁ λόγος δηλώσειεν, ὡς ἂν ἐκ πράγματος τὸ προοίμιον κατασκευασθῇ καὶ μὴ τηνάλλως γράφεσθαι δόξειε τοῖς εἰς χεῖρας λαμβάνουσι.

Τὴν ἐν τῇ Χίῳ *Νέαν Μονήν*, ἥτις ἐπ' ὀνόματι τῆς ὑπεραμώμου δεσποίνης ἡμῶν Θεομήτορος ἵδρυται, ἐκ κρηπίδων καὶ βάθρων αὐτῶν συνεστήσαντο οἱ εὐλαβεῖς μοναχοὶ καὶ θαυμάσιοι, οἱ σύμψυχοι καὶ ὁμότροποι καὶ τὴν ψυχὴν ὁμαιμονες, ἢ τὴν τοῦ σώματος σχέσιν καὶ τὴν ἐκ τούτου συγγένειαν, θερμὸς γὰρ ἔρως τῆς ἀγάπης ἀμφοτέρων ἐνέσκηψε ταῖς ψυχαῖς· κλῆσις τῷ μὲν Νικήτας· θάτερος δὲ Ἰωάννης κατονομάζεται τὴν ἐπίκλησιν ἀπὸ [τῆς;] τοῦ τόπου κτησάμενοι θέσεως· τούτων ὁ μὲν ταῖσδε τῶν ἀρετῶν καθωράϊσται, ὁ δ' ἄλλαις τούτων κεκόσμηται, καὶ ἀμφότεροι τὰς πάσας ἔσπευσαν ἐπικτήσασθαι, κἂν ὁ βάσκανος καὶ πονηρὸς τοῦ γένους πολέμιος, μηνιῶν αὐτοῖς ὡς ἄν τι μαχομένοις αὐτῷ μικροῦ τὴν ὁλκάδα τῆς αὐτῶν καὶ Θείας Μονῆς, ἣν διακυβερνᾶν οἰκειοθελῶς παρωρμήθησαν, αὔτανδρον ἂν εἰς βυθὸν καταδῦναι πεποίηκε, μείζοσι πειρασμοῖς πρὸς τῇ Μονῇ καὶ τούτοις ὑποβαλών, καὶ λεληθότως οὐκ εὐσεβεῖς τοὺς ἀσκητικωτάτους καὶ ὀρθοδόξους καὶ συνετοὺς ἀποδεῖξαι διὰ πολλῆς θέμενος τῆς σπουδῆς· εἰ καὶ μετὰ τὴν πολλὰ τυφθεῖσαν θάλασσαν, οὗτοι μὲν ἀνώτεροι τῶν ἐκείνου παγίδων γεγόνασιν, οὗτος δὲ τῆς κακίας μόνης ἀπήλαυσεν ὡς συνήθως· καὶ πάλιν ὁ μὲν ἥλιος καθαρὰς τὰς ἀκτίνας ἀπέ-

λαβε· τὸ δὲ νέφος, ὑφ' οὗ πρὸς μικρὸν ἐκαλύπτετο, διελύθη μακράν που γενόμενον. Τῷ τοι τοὺς τοιούτους ἄνδρας, ὡς εὐσεβεῖς καὶ θείους καὶ ἱεροὺς καὶ τὰ θεῖα σοφούς, ἡ βασιλεία μου τιμῶσα, οἷα εἰκός, τὴν τούτων ἀξίωσιν, εὔλογον οὖσαν καὶ θαυμασίαν, οὐ παρεβλέψατο· ἐπεὶ γὰρ ἠτήσατο ἐπικυρωθῆναι παρ' αὐτοῖς τὸν γεγονότα χρυσόβουλλον λόγον (1) σφο'.

Τοῦ αὐτοῦ ἐπικυρωτικὸν περὶ τῆς ἐπαυξήσεως τῶν ιε' φαμιλιῶν Ἰουδαίων.

Ἀνδρῶν ἱερῶν καὶ θείων καὶ εὐλαβῶν, καὶ ἀσκήσει καὶ ἀρετῇ καὶ λόγῳ καὶ τρόπῳ τὴν ἑαυτῶν σεμνυνάντων κατάστασιν, τὰς αἰτήσεις, ὁποῖαί ποτ' ἂν εἶεν, παρά τινων οὐ δίκαιον ἀποστρέφεσθαι (2), καὶ μάλιστα εἰς δωρεᾶς ἕνεκεν Ἰουδαίων αἱ τούτων ἀξιώσεις προσγίνοιντο, μᾶλλον δὲ οὐδὲ δωρεᾶς, ἀλλ' ἐπικυρώσεως παρ' ἑτέρων δεδωρημένων διὰ τὴν σεβασμιωτάτην αὐτῶν ἀρετήν, τῇ συστάσῃ παρὰ τούτων εὐαγεστάτῃ Μονῇ, καὶ ὅπως διηγήσεται ἡ γραφή. Τοὺς ἐν τῇ Χίῳ τῇ νήσῳ τὴν *Νέαν Μονὴν* τῆς Θεομήτορος ἐκ βάθρων αὐτῶν ἀνεγείραντας τιμιωτάτους μοναχοὺς καὶ κτίτορας καὶ καθηγητάς, διὰ τῆς ἀρετῆς τῷ Θεῷ πλησιάζοντας, Νικήταν καὶ Ἰωάννην, οἵους τὴν ἀρετὴν καὶ τὸν περὶ τὴν εὐσέβειαν ζῆλον ἐπιγινώσκουσιν ἅπαντες, ὅσοι μὴ ἐθελοκωφεῖν αἱροῦνται πρὸς τὰ καλά· τούτους αἰδεῖται μὲν καὶ τιμᾷ πλέον τῶν ἄλλων τὸ κράτος ἡμῶν, σεβάζεσθαι τὴν ἀρετὴν ἐπιστάμενον· ἀλλὰ καὶ ὁ πρὸ ἡμῶν βασιλεὺς ἠδεῖτο, καὶ τὴν εἰς τούτους τιμὴν ἐξ ἔργων αὐτῶν ἐπεδείξατο, πολλαῖς δωρεαῖς τὴν

(1) Καὶ τὸ παρὸν χρυσόβουλλον ἀτελὲς μένει ἐν ἀμφοτέροις τοῖς χειρογράφοις· ἐξεδόθη δὲ τῷ 1002.

(2) Το τετράστιχον τοῦτο τεμάχιον ἐξέδωκεν ἐν τοῖς *παλαιογράφοις* ὁ σεβασμ. Γρηγόριος Φωτεινός. Νεαμονήσια, σελ. 182.

νεοπαγῆ τούτων Μονὴν φιλοτιμησάμενος· πρὸς δὲ τῷ πλήθει τῶν δωρεῶν καὶ τοὺς ἐν τῇ νήσῳ Χίῳ προσκαθημένους Ἰουδαίους, εἰς πεντεκαίδεκα φαμιλίας ἀριθμουμένους ἀπεχαρίσατο τῇ τούτων Μονῇ· καὶ ἐπείπερ ἠτήσαντο καὶ τὴν βασιλείαν [μου] ἐπικυρωθῆναι καὶ παρ' αὐτῆς τὸ τῆς δωρεᾶς τῶν Ἰουδαίων χρυσόβουλλον (1) ςφο'.

Τὸ ἐπικυρωτικὸν χρυσόβουλλον Διογένους περὶ τοῦ μὴ ὑπάγεσθαι τὴν Μονὴν δημοσιακοῖς δικαίοις, ἢ βασιλικῇ ἐξουσίᾳ.

Τὸ μὲν ἀκρατεῖ καὶ ἀχαλίνῳ κεχρῆσθαι γλώττῃ πολλῶν· στόμα δὲ βασιλέως εὐφροσύνης πηγή· ἀποστάζει γὰρ γλυκασμὸν εἰς ἴασιν ὀδυνωμένων ψυχῶν καὶ ῥημάτων ὀλεθρίων ἐπίκλυσιν. Τοιοῦτος ὁ μοναχὸς Βασίλειος ὁ κατὰ τοὺς Ἀγαλλιανοὺς ἀνεφάνη προσαγγελεύς, ὡς μὴ ὤφειλε, γεγονώς, καὶ ζιζανίων ἄντικρυς σπορεὺς ἀναδειχθείς (2)· προσαγγείλας γὰρ τὴν κατὰ τὴν Χίον *Νέαν Μονὴν* τῷ δημοσίῳ κατὰ πολλοὺς ἁρμόττειν τρόπους καὶ κανόνας, ἐντρύφημα προκεῖσθαι τῷ τε καθηγουμένῳ καὶ τοῖς ἐκεῖ μοναστᾶς, πεῖσαι μὲν οὐκ ἐξίσχυσε τὸ κράτος ἡμῶν πρᾶξαί τι τῶν ἐκείνῳ θυμηρεστάτων, διηρέθισε δ' οὖν, τέως ἀνιχνεῦσαι τὴν ἀλήθειαν, καὶ ὅπως ἔχει σαφῶς τὰ κατὰ τὴν *Μονὴν* διαγνῶναι. Ἐντεῦθεν μετάπεμπτος ὁ ἡγουμενεύων γίνεται ταύτῃ, ἥκει μετὰ τῆς λογάδος μοναχῶν, ζητεῖται τὰ κατὰ τὴν Μονήν, καὶ κατεί-

(1) Κολοβὸν καὶ τὸ χρυσόβουλλον τοῦτο, οὗ τὸ ἀντικείμενον ἀπὸ τοῦ τίτλου μανθάνομεν.

(2) Ἀναφέρει τὰ κατὰ τὸν Βασίλειον τοῦτον ὁ Νικηφόρος, παρατιθεὶς καὶ τεμάχια τοῦ χρυσοβούλλου, διαφορᾶς πολλὰς γραφῆς φέροντος· τεμάχιον ἐξ αὐτοῦ τοῦ χειρογράφου γενόμενον, ἐξ οὗ καὶ τὸ χαλκηνὸν καὶ τὸ αγιοταφικὸν ἐξέδωκεν ὁ Γρ. Φωτεινὸς ἐν *Παλαιογραφίαις*· κατ' ἀμφότερα συγκρίνω τὸ παρόν. Βλ. Νεαμονήσια σελ. 99-100 καὶ 182-183.

ληπται ἐκ τῶν προτεθέντων συχνῶν χρυσοβούλλων, ὡς ἡ μὲν Μονὴ μόνη ἀνεῖται τῇ Θερμήτορι ἀνάθημά τε ἱερὸν καὶ σκήνωμα περιδοξον· ὁ δὲ τὴν πικρὰν ἐξεμέσας προσαγγελίαν μοναχός(1), σκαιός τις καὶ παμμόχθηρος καὶ πονηροῦ δαίμονος ἄντικρυς ἐνέργημα(2)· δέον τοίνυν τὴν κύλικα τῆς πικρίας, ἣν ἐκεράσατο τοῖς, αὐτῷ προσενεγκεῖν εἰς κάθαρσιν τῆς ἐν αὐτῷ μοχθηρίας· ἀλλ' ἡ βασιλεία μου ἀρκοῦσαν αὐτῷ τιμωρίαν ἡγησαμένη τὴν μετ' αἰσχύνης ἀποσόβησιν καὶ τὴν ἄλλην ὕβριν, ἣν αὐτὸς ἐπήνεγκεν ἑαυτῷ, τὸν μὲν ὅπῃ καὶ βουλητὸν εἴη φέρεσθαι συνεχώρησε· τῇ δέ γε Μονῇ καὶ τοῖς ταύτῃ ἐνασκουμένοις μοναχοῖς, ὡς πέρ τι ἄλλο προτείχισμα καρτερόν τε καὶ ἀκαθαίρετον τὴν παροῦσαν χρυσόβουλλον ἐπήγειρε γραφήν, δι' ἧς ἐποχυροῖ(3) μὲν τὰ σύμπαντα τὰ ἐνόντα(4) ταύτῃ χρυσόβουλλα ἐπὶ τῷ αὐτεξουσίῳ καὶ ἀδεσπότῳ(5)· καθαιρεῖ δὲ καὶ ἀφανισμῷ δίδωσι πᾶσαν πονηρὰν γλῶτταν καὶ παλίμφημον, καὶ λόγους ἅπαντας ἀντιθέτους εἰς ἐλέπολιν(6) τεχναζομένους καὶ τοιχωρυχεῖν ἐπιχει-

(1) Ὁ μοναχὸς Βασίλειος παρὰ Νικηφόρῳ.

(2) « ἀνόητός τις ὢν καὶ παμμόχθηρος, ὄργανον σατανικὸν γενόμενος ἐδεῖτο πιεῖν τὸ ποτήριον τῆς πικρίας, ἣν ἐκέρασε τοῖς ἐν Νεαμονῇ τῇ Χίᾳ μονάζουσιν, εἰς κάθαρσιν τῆς μοχθηρᾶς αὐτοῦ καρδίας, ἀλλ' ἡ βασιλεία μου ἀρκοῦσαν αὐτῷ τιμωρίαν νομίσασα τὸ ἀποσοβῆσαι μετ' αἰσχύνης αὐτον καὶ τὸ τὴν ἄλλην ὕβριν ἐπενεγκεῖν, τὴν ἐκ τούτων, συνεχώρησεν ἀπελθεῖν ὅπῃ βούλεται· τῇ δὲ Νεαμονῇ καὶ τοῖς ἐν ταύτῃ ἐνασκουμένοις, ὡς τεῖχος ἰσχυρόν τε καὶ ἀκαθαίρετον, τὸ παρὸν χρυσόβουλλον ἔδωκε, δι' οὗ ἐπικυροῖ πάνθ' ὅσα χρυσόβουλλα κέκτηται ἡ Μονή, πρὸς τὸ αὐτεξούσιον εἶναι καὶ αὐτοδέσποτον· καταδικάζει δὲ εἰς ἀφανισμὸν πᾶσαν πονηρὰν καὶ ἀντιφάσκουσαν γλῶσσαν, καὶ λόγους ἅπαντας ἐναντίους, οἵτινες ἐφιστῶσιν οἷόν τινας κατ' αὐτῆς ἐλεπόλεις καὶ ἐπιχειροῦσι τυχωρυχεῖν τὰς εὐσεβεῖς περὶ τῆς εἰρημένης Μονῆς διατάξεις, καὶ τὰ θεοφιλῆ τῶν προγενεστέρων βασιλέων χρυσόβουλλα. Κατα τοῦτον οὖν καὶ οὐ καθ' ἕτερον τρόπον ζήσεται ἡ Μονή, ἄχρις εὐσεβεια καὶ νόμοι καὶ θεσμοὶ θεῖοι καὶ βασιλικοὶ τὴν οἰκουμένην ἐπιτροπεύουσι ». Ταῦτα παρα Νικηφόρῳ.

(3) ἐπικυροῖ ἐν *Παλαιογραφοις*.

(4) σύμπαντα τὰ ἐνόντα ταύτης αὐτόθι.

(5) αὐτοδεσπότῳ· αὐτόθι.

(6) εἰς ἑλεπόλεις· αὐτόθι.

ροῦντας, τὰς εὐσεβεῖς περὶ τῆς(1) Μονῆς διατάξεις, καὶ τὰ θεοσεβῆ(2) τῶν προηγουμένων μακαρίων(3) βασιλέων χρυσόβουλλα(4). ςφοθ'.

Ῥωμανὸς ἐν Χριστῷ τῷ Θεῷ ὁ Διογένης.

Ἐπικυρωτικὸν χρυσόβουλλον τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Δούκα(5).

Καὶ πᾶσα μὲν πρᾶξις ἐπαινετὴ καὶ θεάρεστος καὶ μὴ ὑπεναντία τῶν καλῶν νόμων καὶ τρόπων εἴωθε καὶ ἀφ' ἑαυτῆς τὸ ἑδραῖον καὶ πάγιον ἀποφέρε[σθ]αι, καὶ οὐδεὶς οὐδέπω τῶν οὐ φαύλων καὶ πάντα τολμώντων, οὐδὲ κλώθειν τὰ ἀσύγκλωστα ἐπιχειρούντων, παρακινῆσαι, ἢ ὅλως ἀναμοχλεῦσαι ταῦτα πειράσεται, εἰ μήγε καθ' ἑαυτοῦ, ὃ λέγεται, κινεῖν τὸν ἀνάγυρον βούλοιτο, γράφειν τε καθ' ὑδάτων, καὶ ἀβέλτερος νομισθῆναι καὶ ὄντως μισόκαλος· ἣν δὲ καὶ ὡσπερεί τινες χρύσειοι κίονες χρυσόβουλλοι γραφαὶ βασιλέων ἀξιομνημονεύτων καὶ τρισολβίων ὑπήρεισάν τε καὶ ὑπεστήριξαν ὑποβληθέντες, τίς ἂν λογισμοῦ κύριος οὐ δι' ἐπαίνων ποιήσαιτο καὶ κοινωνὸς γενέσθαι καὶ συμμέτοχος τῆς τοιαύτης ἀγαθοεργίας, ἐπεύξαιτο οὐδεὶς ἄν, οἶμαι, εἰ μὴ ἀντικρυς μελαγχολᾷ· ἀλλὰ καί τοι τοιούτων ἀκαταμαχήτων ὅπλων, χρυσοβούλ-

(1) τῆς εἰρημένης· αὐτόθι.

(2) Θεοφιλῆ.

(3) Λείπει τὸ μακαρίων ἀπὸ τοῦ ἐν τοῖς Παλαιογράφοις τεμαχίου.

(4) Ἐν Παλαιογράφοις προστέθεινται « Κατὰ ταῦτα γὰρ καὶ οὐ καθ' ἕτερον αὐτή τε ἡ Μονὴ καὶ σύμπαντα τα ὑπ' αὐτὴν στήσεται, ἄχρις εὐσέβεια, καὶ νόμοι, καὶ θεσμοὶ θεῖοι καὶ βασίλειοι τὴν οἰκουμένην ἐπιτροπεύουσιν »

(5) Διαφέρει ἐν πᾶσιν ἡ φρᾶσις τοῦ παρα Νικηφόρῳ τῷ Χίῳ τεμαχίου, καί τοι ἡ ἔννοιά ἐστιν ἡ αὐτή· παρα Νικηφόρῳ καθὰ καὶ ἐν *παλαιογράφοις*. γράφεται ὅτι τὸ χρυσόβουλλον ὁρίζει καὶ περὶ τῆς γυναικείας μονῆς, ἣν ἤγειραν οἱ τὴν Νεαμονὴν κτίσαντες.

λων φημὶ δυνάμεων εὐποροῦντες οἱ ἐν τῇ *Νέα Μονῇ*, τῇ κατὰ τὴν νῆσον Χίον ἱδρυθείσῃ πρὸ χρόνων μακρῶν, καὶ τὴν τῶν νῦν ὄντων αἰώνων ὑπερεκπαιόντων μνήμην τὸν τῆς ἀρετῆς δίαυλον τρέχοντες μονασταί, τὸ ἑδραῖον ἐπιψηφιζομένων καὶ ἀρραγές, ἀμετάπτωτόν τε καὶ ἀναλλοίωτον τοῖς διατεταγμένοις τοῖς κτίτορσι τῆς ἰδίας Μονῆς, καὶ πάντα τὸν καθ' οἱονδήτινα τρόπον ἔν τινι καιρῷ κακῶς ἐπιφύεσθαι τῇ Μονῇ καὶ τοῖς ἐν αὐτῇ προθυμηθησόμενον πόρρω που ἀπελαυνουσῶν, καὶ ὡσανεί τισι λίθοις στερροῖς ἀποσφενδονουσῶν, ὅμως προμηθέστεροι καὶ αὐτοῦ τοῦ δέοντος ἔδοξαν εἶναι, τῇ ἡμετέρᾳ προσελκυθότες γαληνότητι καὶ δέησιν ἐπανατεινάμενοι τοῦ καὶ διὰ χρυσοβούλλου λόγου ταύτης ἐπικυρωθῆναι τὰ ἤδη προγεγενημένα καὶ κεκυρωμένα χρυσόβουλλα παρά τε τοῦ... (1). Ἡ γοῦν θεοπρόβλητος ἡμῶν βασιλεία εὐμενῶς κατιδοῦσα τοὺς μοναχοὺς τὰ τῆς αἰτήσεως τούτων (2) θᾶττον ἢ ὁ λόγος ἐξεπέρανε καὶ τὸν παρόντα χρυσόβουλλον λόγον αὐτοῖς ἐπώρεξε (3)· διοριζομένη αὐτὴ (4) διὰ τούτου τὸ πάγιον καὶ ἀναμφίλεκτον καὶ ἀστασίαστον ἀποφέρεσθαι τὰ τῆς διατάξεως τῶν τρισμακαρίων (5). ςφπ'.

---

(1) Ἐνταῦθα χάσμα ὑπάρχει ἔν τε τῷ χαλκηνῷ καὶ τῷ ἁγιοταφικῷ γειρογράφῳ· φαίνεται δ' ὅτι ἠριθμοῦντο τὰ προεκδεδομένα χρυσόβουλλα.

(2) λείπει τὸ τούτων ἐν τοῖς *Παλαιογράφοις*.

(3) παρέσχεν· αὐτόθι.

(4) καὶ αὐτή· αὐτόθι.

(5) ἐν Παλαιογράφοις προστίθενται «τρισμακαρίων ἐκείνων κτιτόρων τῆς ἐν τῇ νήσῳ Χίῳ Νέας Μονῆς, μᾶλλον δὲ τῶν Μονῶν, τῆς τε εἰς ἀσκητήριον ἀνδρῶν πνεύματι ζεόντων καὶ τῷ Κυρίῳ ζῆν προτεθυμένων, ἐκ κρηπίδων αὐτῶν ἀνεγερθείσης, καὶ τῆς εἰς κατοικητήριον γυναικῶν σεμνῶν καὶ παρθένων, ἐξ αὐτῶν δὲ τῶν θεμελίων δομηθείσης· ἐν αἷς φιλοσοφεῖται μὲν πᾶσα ἀρετή, καὶ πᾶς τρόπος ἀσκήσεως ἐκπαιδεύεται, ἀτιμάζεται δὲ πᾶν τὸ περιττόν, καὶ ὑπὲρ τὴν χρείαν».

Τὸ ἐπικυρωτικὸν χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως κυροῦ Νικηφόρου τοῦ Βοτανειάτου· περὶ τοῦ πολεμνίου τῶν ἑκατῶν ἱσταμένων νομισμάτων (1).

Οἱ τῷ ἱερῷ φροντιστηρίῳ τῆς ἐν τῇ Χίῳ *Νέας Μονῆς* ἀσκούμενοι(2), ζῶντες μὲν κατὰ μόνας Θεῷ, καὶ βίον ἡσύχιον καὶ ἀπράγμονα ἔχοντες, πόρρω δὲ κοσμικῶν θορύβων καὶ τῆς ἐν βίῳ συγχύσεως διαμένοντες, ὡς τὸ ἀπερίσπαστον καὶ ἀμέριμνον εὑρηκότες ἀπὸ τῶν προσόντων τῷ κατ' αὐτοὺς σεμνείῳ χρυσοβούλλων διαφόρων, αὐτοῦ(3) τοῦ ἀοιδίμου βασιλέως τοῦ Μονομάχου καὶ(4) τοῦ αὐτοῦ τοῦ τῆς βασιλείας μου ἐπικυρωτικοῦ, χαριζομένου πρὸ πάντων τὸ ἰδιοσύστατον τῇ Μονῇ καὶ αὐτοδέσποτον καὶ ἐλεύθερον, εἶτα τὸ ἀνεπηρέαστον πανταχόθεν καὶ ἀβαρές, καὶ τὸ μήτε σιτήσεως πρός τινα τῶν κατὰ καιροὺς θεμιστευομένων κριτῶν (5). ϛφπη'.

Ἕτερον ἐπικυρωτικὸν χρυσόβουλλον κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ.

Καὶ τοῦτο φιλοθέου πάντως ἔργον ψυχῆς τὸ τοὺς ἀγαθοὺς τῶν

(1) τεμάχιον τούτου παρὰ Νικηφόρῳ καὶ ἐν *Παλαιογράφοις*. Νεαμονήσια. σελ. 101, 183-184.

(2) ἐνασκούμενοι· αὐτόθι.

(3) αὐτοῦ τε· αὐτόθι.

(4) «καὶ καθεξῆς· καὶ περὶ τῶν ἐξορίστων ἀγνόημα διορθοῦται ἀπό γε τῆς σήμερον καὶ καθεξῆς τοῦ λοιποῦ, ὁπηνίκα τῆς ὑπερορίας ἀνακληθεῖεν (οἱ ἐν τῇ Μονῇ ἐξόριστοι) ἐλευθεριάσει πάντων ἡ Μονὴ τέλεον, καὶ ἀπὸ τῆς ἐξορίστων ἐπηρείας, ὥσπερ δὴ πασῶν τῶν ἄλλων ἐπηρειῶν». Ταῦτα προστίθενται παρά τε Νικηφόρῳ καὶ ἐν *Παλαιογράφοις*.

(5) ἀπὸ τῆς λήξεως *τοῦ Μονομάχου*, ἔνθα πρὸς τὸ καὶ κεῖται ὁ ἀριθμὸς 4, φαίνεται ὅτι ἄρχεται ἀπόσπασμα ἑτέρου χρυσοβούλλου

ἀνδρῶν αἰτουμένους προσίεσθαι, καὶ καινόσπουδον μηδένα τούτων παρασκευάζειν παλιννοστεῖν, καὶ μᾶλλον εἰ πρὸς ψυχῆς ὠφέλειαν διαβαίνει τὸ αἴτημα· καθ' ὃν λόγον καὶ ἡ γαληνότης τοῦ κράτους ἡμῶν εὐποιοῦσα προσήκατο τὴν δέησιν τοῦ Θεοφιλεστάτου μητροπολίτου Πάρου καὶ τῆς Ναξίας, καὶ προέδρου τῶν πρωτοσυγκέλλων (1). ςφϟε'.

Βασιλόγραφον Ἀνδρονίκου Δούκα Ἀγγέλου Κομνηνοῦ τοῦ Παλαιολόγου.

Πάλαι μὲν οὖν τὰς παρὰ τῷ προφήτῃ νήσους ἐγκαινιζομένας ἀκούομεν· ὃν μέντοι τρόπον, καί τινας οὔσας αὐτάς, καὶ τίνας δεχομένας καὶ παρ' οὑτινος τὸν ἐγκαινισμόν, οὐτ' αὐτῷ δὴ τῷ προφήτῃ τὸ φάσκειν ἐμφανέστερον ἔδοξεν, οὐδ' ἡμῖν ἂν λέγειν εἰς τὸ βέβαιον ἔοικεν, ἐκείνων ταῦτ' εἰδότων τῶν τὰ θεῖα μετεώρων καὶ ὑψηλῶν, καὶ οἷς μετὰ τοῦ πνεύματος, οἳ καὶ τοῖς προφητικοῖς ἐκείνοις τάχα πλοίοις ἐπὶ θάλατταν καταβαίνοντες, πολλοῖς αὐτοῖς ἐν ὕδασι τὴν ἐργασίαν πεποίηνται· ἀλλ' ἡμεῖς γε δήπου καὶ χωρῶν καὶ νήσων τουτωνὶ τῶν ὁρωμένων τὴν ἀρχὴν ἐγχειρισθέντες παρὰ Θεοῦ ταύταις δὲ καὶ τὸν ἐγκαινισμὸν ἐπάγειν ἐγνώκαμεν· τὰ μὲν πρῶτα δυσμενῶν αὐτὰς σὺν τῷ Θεῷ χειρὸς ἐξαιρούμενοι, παρ' ὧν αἰσχρῶς ὡς ἀληθῶς καὶ ἀκαλλῶς ἐκεῖναι τῷ βαθεῖ ζυγῷ τῆς δουλείας ὑπέκυπτον· μετὰ δὲ σὺν τῷ Θεῷ, καὶ αὖθις διαφόροις τρόποις προμηθείας τοῦτ' αὐτὸ δὴ πρὸς τὸ βέλτιον ἐγκαινίζοντες· τῷ γε μὴν ἐν τῷ παρόντι γινόμενον, ἐν τῇ νήσῳ Χίῳ τὸν ἐγκαινισμὸν ἀποτίθεται, καὶ ὁ τρόπος οἷος, τὰ ἑξῆς παραθήσειε· Θειοτέρου γὰρ ἐγκαινισμοῦ προσαπτόμενος, οὐχ

(1) Καὶ τὰ τοῦ Βοτανειάτου ἀμφότερα καὶ τὸ τοῦ Ἀλεξίου Κομνηνοῦ χρυσόβουλλον κολοβα φέροντοι ἐν ἀμφοτέροις τοῖς γειρογράφοις· το δὲ παρὸν οὐδ' ἐκ τῆς ἐπιγραφῆς ὑποφαίνει ἡμῖν τὸν σκοπὸν τῆς ἐκδόσεως.

ἥττον καὶ τῆς νήσου τοῦτον πεποίηται. Μονὴ γὰρ σεβασμία παρ' αὐτῇ τῇ νήσῳ καθίδρυται, καὶ τὴν Μονὴν τὸ τῆς ἐμῆς δεσποίνης καὶ θεομήτορος ἀποσεμνύειν εἴληχεν ὄνομα, τῆς νοητῆς καὶ θειοτέρας ὄντως σκηνῆς, ἣν αὐτὸς καὶ ἀληθῶς ὁ Κύριος ἔπηξε, παρ' ᾗ καὶ ἐνοικήσας, σκήνας ἡμῖν οἰκεῖν τὰς οὐρανίους ἀπέδωκεν· ἐν γὰρ αὐταῖς καὶ τοὺς ἀξίους εἰσδέξασθαι καὶ συγγενέσθαι τὰ τελεώτερα πάλαι καὶ ἀκούομεν καὶ πιστεύομεν· ἀλλὰ ταῦτα μὲν ἡμῖν ἐκ τῆς σκηνῆς τῆς νοητῆς ἐπιγέγονε καὶ πολλὰ δὴ καθεκάστην ἕτερα γίνεται, τὰ μὲν παντὶ κοινῇ τῷ γένει παρ' αὐτῆς χορηγούμενα, ὅσα δὴ πρὸς σωτηρίαν καὶ τῶν ἄνω μετουσίαν ἔγνωσται ῥέροντα, τὰ δ' ἰδίᾳ πρὸς ἕκαστον, ἐφ' οἷς ἂν οἶεν κἀπὶ τῶν ἐνταῦθα δεόμενοι, ὧν τὰ πλεῖστά τις σκοπῶν εὑρήσει καὶ μέγιστα, ἐπ' αὐτῇ τῇ ἡμετέρᾳ βασιλείᾳ παρὰ τῆς δεσποίνης ὁσημέραι τελούμενα· ὅσῳ δὴ πλειόνων καὶ μειζόνων παρ' αὐτῆς αὐτῇ προσδεῖ τῶν συνάρσεων, τοσούτῳ καὶ συναιρουμένης, ἐπεὶ πλείστοις καὶ μεγίστοις αὐτῇ, ἀνθ' ὧν οὐχ' ὅπως καὶ προσφέρειν, ἀλλ' οὐδ' ἂν ἀξίως ἔχοιμεν πληροῦν τὸν εὐχάριστον, πλὴν οὐχ ὅτι ταῦτα πᾶσαν ὑπερβαίνει καὶ χειρὸς καὶ λόγου τὴν δύναμιν, διὰ τοῦτο καὶ σιγῇ τῶν δωρεῶν ἀπολαύσομεν, καὶ κεναῖς ὀφθῶμεν προσιόντες χερσίν· ἀλλ' ἐπεὶ παντὸς ἡμῖν τὰ τῆς μεγάλης ταύτης σκηνῆς κρείττω νομικοῦ καὶ σκιώδους ἐγκαινισμοῦ, καὶ οὐκ ἂν παρ' οὐδενὸς κατὰ μικρὸν ἁρμόττουσαν εἰσδέχεται τὴν προσαγωγήν, τρόπον ἕτερον ἡμεῖς προσάγειν τὸν ἐγκαινισμὸν ἐπεγνώκαμεν. Ἐντεῦθεν πάντως ὡς ἐξὸν ἀφοσιοῦντες τῇ πανάγνῳ τὸ εὔγνωμον· τῇ γὰρ ἄνω δηλωμένῃ Μονῇ, ᾗ τὸ μέγα ταύτης ἐπιγέγραπται ὄνομα, μᾶλλον δὲ τοῖς ὅσα τῇ Μονῇ προσεφήρμοσται τὸν ἐγκαινισμὸν ὡς δυνατὸν ἐπιφέρομεν· ἀλλ' ἡ θεομήτωρ μοι δέσποινα πάντως οἶμαι τὴν ἐνταῦθα δύναμην ἐκμετρήσασα, καὶ πρὸς ἑαυτὴν ἐκ τῆς Μονῆς διαβιβᾶσα τὴν πρόθεσιν, ὃν γὰρ ἤδη καὶ προάγωμεν αὐτῆς γε τῇ Μονῇ τὸν ἐγκαινισμὸν οὐχ οἷος μεταβραχὺ συνεπιέναι τῷ χρόνῳ, ἀλλ' οἷς ἂν σὺν τῷ Θεῷ καὶ πρὸς

αἰῶνα τὸν ἑξῆς παρατείνοιτο· τούτου μέντοι καὶ ἡ νῆσος εἴρηται παραπολαύειν τοῦ καινισμοῦ· τῆς γὰρ πολιούχου καὶ δεσποίνης δεχομένης τοῦτον ἐν τῇ Μονῇ, εἰκὸς αὐτὸν καὶ πρὸς τὴν νῆσον διαδόσιμον γίνεσθαι· ἀλλὰ τίς ὁ κατὰ κύκλον οὗτοσί, καὶ πόθεν ὥρμηται καινισμός, ἐξ εὐθείας τάχα τῆς πρὸς τὰ καλὰ προαιρέσεως· οἱ γάρ τοι παρὰ τῇ ῥηθείσῃ σεβασμίᾳ Μονῇ διὰ βίου προσανέχειν ἠρημένοι τῇ θεομήτορι, καὶ τοῦτο πρὸ τῶν ἄλλων ἔργον τῶν σπουδαιοτάτων τιθέμενοι, καρδίαν καθαρὰν καὶ πνεῦμα εὐθές, τὴν μὲν ἐν ἑαυτοῖς ἀείποτε κτιζομένην ἔχειν ὁρᾷν, τὸ δ' ἐν τοῖς ἐγκάτοις ἐγκαινιζόμενον, φθάνουσι τοιαύτην πρὸς τὴν ἡμετέραν βασιλείαν ποιησάμενοι αἴτησιν, ἵν' ὁπόσα τῇ Μονῇ προσγέγονεν, ὁθενδήποτε, καὶ μέχρι νῦν αὐτῇ συμπαρέμεινε, ταῦτα καὶ πρὸς τὸν ἑξῆς αὐτῇ παγιωθῆναι καὶ βεβαιωθῆναι γένοιτο χρόνον, καὶ καινισθῆναι τρόπον δήτινα τὴν κτῆσιν αὐτῶν ἀσφαλεστάτην τοῦ λοιποῦ ἀρραγῆ τοῖς μοναχοῖς διαμένουσαν. Ταῦτά τε δὴ καὶ χρυσοβούλλου ἐπὶ τούτοις ἐξαιτοῦνται τυχεῖν.

κατὰ μῆνα Ἰούλιον, ἰνδικτιῶνος β', ἔτους ϛψιζ'.

Σημ. Τὰ χειρόγραφα, χαλκηνόν καὶ ἁγιοταφικόν, ἐν τέλει σώζουσιν ἀμφότερα τὴν ἑξῆς σημείωσιν:

Ὑπῆρχε καὶ ἕτερος χρυσόβουλλος λόγος τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἰωάννου τοῦ Παλαιολόγου, ἀπολυθεὶς κατὰ μῆνα νοέμβριον τῆς νῦν τρεχούσης, ὡς ἔλεγε, δεκάτης ἰνδικτιῶνος ϛων' ἔτους.

Θ = ΜΜΙΧ 10-13

Τὸν ζῆλον ἐκ τῶν παραδειγμάτων φασὶν ἔχειν τὴν κίνησιν, προηγεῖται δὲ ταύτης ἐπαινετὴ διάθεσις τῆς ψυχῆς, ἐπιτήδειον ἔχουσα προσὸν τὴν κίνησιν· συμπέφυκε γὰρ τοῖς ἔξωθεν τὰ ἐντός· καὶ τὴν σύνοικον κατάστασιν διεκφαίνει ἡ πρὸς τὰ ἔξω ροπή· εἶτι δὲ τούτων οὐ συνέλθει, βλάπτει τὴν τελειότητα ὡς τῆς συνδρομῆς τῶν ὅλων συντελεστικῆς οὔσης τῆς καταστάσεως. Ἀλλ' εἰς τί ταῦτα τῇ Βασιλεία μου λέλεκται; Ὁ τιμιώτατος καθηγού-

μενος τῆς κατὰ τὴν νῆσον Χίον διακειμένης περιωνύμου μονῆς τῆς ὑπεραγίας Θεοτόκου, τῆς οὕτω πως ἐπονομαζομένης Νέας, ζῆλον ἐζήλωσε τῇ τε πολιούχῳ τῆς κατ' αὐτὸν μονῆς πανυπεράγνῳ Δεσποίνῃ ἡμῶν καὶ Θεομήτορι καὶ δι' αὐτῆς τῷ ταύτης υἱῷ καὶ Θεῷ, ᾧ τὰ κατὰ μέρος ἀνάγονται ἀγαθά. Ἐζήλωσε δὲ ἀπὸ μὲν τῶν ἐκτὸς παραδειγμάτων ἠργμένος ἢ κινηθεὶς ὅσα πολλὰ διὰ τῆς χάριτος τοῦ βασιλεύσαντος αὐτὴν Χριστοῦ ἡ Βασιλεία μου τετελείωκεν. Ἀπὸ δὲ τῶν ἐντὸς ὑπὸ τῆς ἀγαθῆς ἐλπίδος ὁρμηθεὶς καὶ τῆς χρηστῆς εὐνοίας αὐτοῦ. Διὰ δὴ πάντα καὶ κατ' ἐπίγνωσιν ὁ ζῆλος αὐτοῦ, καὶ ἡ μίμησις τούτῳ κατ' εὔνοιαν καὶ εὐγνωμοσύνην καὶ ἐνδιάθετον. Ἐπεὶ οὖν ἡ Βασιλεία μου ἐπὶ τῷ θεμελίῳ τῆς θείας ἐλπίδος ἑδραζομένη, καὶ ἕνεκεν τῆς ἀληθείας καὶ τῆς πρᾳότητος, εἰτοῦν τῆς ἀγαθοσύνης καὶ τῆς δικαιοσύνης καὶ ἐντείνεσθαι καὶ κατευοδοῦσθαι καὶ βασιλεύειν πιστεύσασα, καὶ ἐκ τοῦ Θεοῦ δίκαιον κρίνουσα τῆς ἀποκαταστάσεως ἄρξασθαι ταῖς ἐκασταχοῦ μοναῖς χρυσοβούλλους λόγους αὐτῆς ἐπεβράβευσε τοῖς γεγονόσι παραδείγμασι κεχρημένος καὶ πεπεισμένος τῇ ἔνδον εὐνοίᾳ, ὡς οὕτως ἔσται αὐτῷ. Ἐξ ἀμφοτέρων τούτων εἰς τὸν ζῆλον κατέστη, καὶ ζηλώσας τῆς βασιλείας μου ἐδεήθη τῶν ἴσων τοῖς κατὰ τὴν μονὴν πάντα τὰ προσόντα αὐτῇ δίκαια, ὡς ἀνενοχλήτως ταῦτα κατέχει καὶ παντὸς ἀνωτέρου διασεισμοῦ. Ἡ Βασιλεία μου τοίνυν τὸ ἄξιον ποιοῦσα, καὶ τῷ ζήλῳ καὶ τῇ τούτων εὐνοίᾳ, καὶ τῇ πανυπεράγνῳ Θεομήτορι, καὶ δι' ἁπάντων τούτων τῷ Θεῷ ἀφοσιοῦσα τὰ καθήκοντα, τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῷ ἐπιχορηγεῖ, δι' οὗ καὶ διορίζεται κατέχειν τὴν ῥηθεῖσαν Νέαν μονὴν τῆς πανυπεράγνου Θεομήτορος, καὶ δεσπόζειν κατὰ κυριότητα καὶ αὐθεντίαν τὰ προσαρμόσαντα αὐτῇ δίκαια ὁθενδήποτε καὶ ὁπωσδήποτε καὶ παρ' ὁποιουδήτινος προσώπου προσκυρωθέντα, καὶ παρ' αὐτῆς δεσποζόμενα καὶ κατεχόμενα· ἐπικυροῖ γὰρ ἡ Βασιλεία μου τῇ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς πάντα τὰ προσόντα παλαιγενῆ καὶ

πρόσφατα δικαιώματα, ἐφ' οἷς κέκτηται ἅπασι, καὶ διὰ τούτων τῶν κτημάτων αὐτῆς καὶ τῶν πραγμάτων κυρίαν καὶ ἀπαρασάλευτον αὐτῇ περιποιεῖται τὴν δεσποτείαν· ἃ καὶ ῥητῶς τὸ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου ἐγκαταγράφονται. Οἰκήματα ἐντὸς τοῦ κάστρου, περιβόλια, ἐρειποτόπια, λοετρὰ δύο, καὶ ἐκκλησία ἡ οὕτω πως ὀνομαζομένη, *τὸ πολιτικόν*· ἑτέρα ἐκκλησία ἡ Παντοδύναμος μετὰ τῆς περιοχῆς αὐτῆς, ἑτέρα ἐκκλησία ὁ Ἅγιος Νικόλαος μετὰ τῆς περιοχῆς αὐτοῦ· αἱ ἀποθῆκαι, αἱ πλησίον οὖσαι τῆς θαλάσσης, καὶ οἱ δύο δουλευτοπάροικοι, οἱ ἐν τῷ ἐμπορίῳ προσκαθήμενοι, ὅτε Νικόλαος ὁ Εὐριπιώτης, καὶ Γεώργιος ὁ Κόμαρος· μετόχιον εἰς τὸν Κάμπον, τὸ εἰς τὰ Νεώνητα διακείμενον μετὰ τῆς ὑπ' αὐτὸ ἀροσίμου γῆς, τῆς ὁπουδήποτε διακειμένης, καὶ τῶν ὁπωροφόρων δένδρων, ἐλαιῶν τε καὶ ἀλλοίων· κῆπος ὁ λεγόμενος Πλατάνιον μετὰ τῆς ὑπ' αὐτὸν ὑπέργου γῆς καὶ νομαδιαίας, καὶ κληματοφόρων δένδρων, καὶ τῶν ὑπὸ τοῦ Κοδράτου ἐξωνισθέντων παρὰ τῆς μονῆς, καὶ τῶν ἐκεῖσε προσκαθημένων δουλευτοπαροίκων τεσσάρων, οὓς ἔχει καὶ διὰ πρακτικοῦ ἕτερον μετόχιον, οἱ Ἅγιοι Τεσσαράκοντα μετὰ τῆς περιοχῆς αὐτοῦ πάσης, καὶ τῶν περιελθόντων αὐτῇ ὑπὸ τῶν Χειλάδων. Τὰ πέριξ τῆς μονῆς ἀγρίδια, ἤγουν τ' Ἄκριτα μετὰ πάσης τῆς ἀρχῆθεν αὐτῶν περιοχῆς καὶ διακρατήσεως, ἕτερον μετόχιον ἡ Ἁγία Τριὰς μετὰ τῶν ὑπ' αὐτὸ πάντων· ἕτερον μετόχιον τὸ κατὰ Γεροντεῖον μετὰ πάσης τῆς περιοχῆς αὐτοῦ καὶ διακρατήσεως, καὶ μέχρι τῶν Κωμάρων διικνουμένης· ἕτερον ἀγρίδιον ἡ Πλάτανος μετὰ τῆς αὐτοῦ ὑπέργου γῆς, καὶ μέχρι τοῦ Ὑδροποσίου καὶ τοῦ Κοχλίου περιοριζομένης, τόπος νομαδιαῖος, μετὰ τῶν σπηλαίων καὶ τῆς Φιλαντρίας· μετόχιον τὸ εἰς τὴν Χαλαζουσίαν διακείμενον μετὰ τῶν ἐν αὐτῷ δύο ἐκκλησιῶν, τοῦ Ἁγίου μεγαλομάρτυρος Ἰσιδώρου καὶ τῆς ὑπεράγνου Θεοτόκου τῆς Πλουμαριώτισσας καὶ τῶν ὑπ' αὐτὸ χωραφίων καὶ τόπων ὁπουδήποτε διακειμένων, δένδρων ὁπωροφόρων καὶ σχίνων· χο-

ράφια τὰ εἰς τὰ Δότια, οἷα καὶ ὅσα εἰσί· μετόχιον τὸ Συκέου μετὰ τῆς ὑπ' αὐτὸ ἀροσίμου γῆς καὶ νομαδιαίας καὶ πάσης τῆς ἀρχῆθεν αὐτοῦ περιοχῆς καὶ διακρατήσεως. Εὐκτήριον ἡ Ἁγία Ἀναστασία μετὰ τῶν ὑπ' αὐτὴν παροίκων δύο, οἱ παρακαθήμενοι εἰς τὴν Χαλαζουσίαν μετὰ τῶν παίδων αὐτῶν· Χωράφια τῶν Κολοφούντων μετὰ τῶν ἐλαϊκῶν δένδρων· μετόχιον τῶν Σιδερούντων μετὰ τῶν ὑπ' αὐτὸ ἐλαϊκῶν δένδρων καὶ ὀπωροφόρων καὶ πάσης τῆς ἔξω περιοχῆς καὶ διακρατήσεως· χωράφια περιελθόντα τῇ μονῇ ἀπὸ τοῦ Πολυκρασᾶ· πάροικοι οἱ προκαθήμενοι εἰς τὸ μετόχιον τῶν Σιδερούντων, ὧν ὁ μὲν εἷς Ἰωάννης ὁ Εὐπραγιώτης μετὰ τῶν παίδων αὐτοῦ ἐνυπόστατος, καὶ οἱ ἕτεροι δύο ἀνυπόστατοι· μετόχιον ὁ Ἅγιος Γεώργιος, τὸ ἐν τῇ περιοχῇ τοῦ Ἀγγέλου διακείμενον μετὰ πάντων τῶν ἀνηκόντων αὐτῷ καὶ τῶν περιελθόντων αὐτῷ ἀπὸ δωρεᾶς καὶ ἐξ ἀγορασίας καὶ τοῦ ὑπ' αὐτὸ μυλῶνος· ἕτερον μετόχιον τὸ Καρδαμύλιον, μετὰ τῆς ὑπ' αὐτὸ ἀροσίμου γῆς καὶ νομαδίας τῆς Βρύσεως καὶ πάντων τῶν περὶ αὐτὸ σὺν τοῖς οἰκήμασι τοῦ Πύργου καὶ τῷ μυλῶνι· μετόχιον τὸ ἐξαλειφθὲν ὑπὸ τῶν κουρσάρων, τὸ οὕτω πως ἐπιλεγόμενον *Τεύθιν*, μετὰ τῆς ἐξαρχῆθεν αὐτοῦ περιοχῆς καὶ διακρατήσεως τῶν Παρπάντων· χωράφια τὰ διακείμενα εἰς τοῦ Ἀρογεύτου, καὶ εἰς τὸ χωρίον τὸ Πιτυοῦς· μετόχιον εἰς τὸ Πέραμα ὁ Ἅγιος Εὐστράτιος, τὸ ἐπιλεγόμενον Ἀναχωρίας, ὃ περιῆλθε τῇ μονῇ ἀπὸ προσενέξεως τοῦ Εὐδαιμονίτζη ἐκείνου μετὰ τῆς ὑπ' αὐτὸ ἀροσίμου γῆς καὶ νομαδιαίας, καὶ τῶν περιελθόντων αὐτῇ χωραφίων ἀπό τε προσενέξεως καὶ ἐξ ἀγορασίας τῆς μονῆς σὺν τῷ εὐκτηρίῳ τοῦ Τιμίου Προδρόμου, τῷ περιελθόντι τῇ μονῇ ἀπὸ τοῦ Βογδάνου μετὰ τῶν ἐν αὐτῷ συκομωρεῶν· μετόχιον ὁ Ἅγιος Γεώργιος εἰς τὰ Κανάλια, τὸ εἰς τὸ θέμα τοῦ Ἁλμυροῦ καὶ εἰς τὴν κορατωρίαν τοῦ Βελεστίνου διακείμενον μετὰ τῶν ὑπ' αὐτὸ ἀμπελίων, χωραφίων, ὀσπητίων ὀπωροφόρων δένδρων, γῆς τε ὑπέργου καὶ νομαδιαίας, καὶ τῶν ἐν αὐτῷ προσ-

καθημένων παροίκων. Ἀμπέλια καὶ ὀσπίτια τὰ ἐν τῷ Ἀλμηρῷ, καὶ τὰ ἀπὸ τοῦ Ὑαλέα περιελθόντα τῇ μονῇ. Καὶ τὰ σανδάλια ταύτης, ἅπερ ἔχει ἐξκουσευόμενα ἀπὸ πάσης ἐπηρείας καὶ ὀχλήσεως· ἤγουν κουμερκίου καὶ ἀγγαρίας παντοίας καὶ τῶν λοιπῶν ζητημάτων. Τὰ δηλωθέντα τοίνυν κτήματα, μετόχια, προάστεια, ἀγρίδια, καὶ τοὺς ἐν αὐτοῖς προσκαθημένους παροίκους ἔσται κατέχουσα ἡ τοιαύτη μονὴ τῆς ὑπεράγνου Θεομήτορος κατὰ ἀναφαίρετον δεσποτείαν καὶ κυριότητα αὐτοδέσποτον, καὶ ἐφ' ἅπασιν ἀδιάσειστον, καὶ ἐπὶ τοῖς γινωσκομένοις ἀκαταζήτητον, καὶ ἐπὶ τοῖς γνωσθησομένοις ἀνεπίγνωστον· ἀναι(ρεῖ) γὰρ ἡ Βασιλεία μου πᾶσαν προφάσεως παρείσδυσιν τοῖς ὁπωσδήποτε ἐπηρεάζουσι καὶ πονηρὰ ἢ ἐνεργοῦσι ἢ βούλονται, ἢ δι' ἑαυτῶν, ἢ δι' ἑτέρων, ἢ τανῦν ἢ τὰ ὕστερον· εἴτι γὰρ εὑρημένου ἐστὶ τοῖς κακουργοῦσιν ἢ εὑρεθήσεται· εἴτε ἀγγαρίας ἐπινόημα, ἢ παραγγαρίας, ἢ ζημίας, ἢ ψωμοζημίας, ἢ καστροκτησίας, ἢ κατεργοκτισίας, ἢ σιταρκίας, ἢ πλωίμων, ἢ κονταράτων, ἢ συνδοσίας, ἢ ἐξελάσεως, ἢ τοῦ τυχόντος κεφαλαίου, ὀνομαζομένου, ἢ ὀνομασθησομένου, ταῦτα πάντα περιαιρεῖ ἡ Βασιλεία μου ἀπὸ τῆς τοιαύτης μονῆς, ὡς καὶ τῶν ἐπικειμένων αὐτῇ τριῶν νομισμάτων ὑπὲρ τοῦ κεφαλαίου τῆς σιταρκίας, χάριν τῶν ἐξ ἀγορασίας περιελθόντων τῇ τοιαύτῃ μονῇ χωραφίων ἐν τῷ μετοχίῳ τοῦ Ἁγίου Εὐστρατίου, ἐκκοψάσης τῆς Βασιλείας μου. Ὅθεν καὶ τοῦ μέλλοντος ἀσφαλιζομένου, οἷς ἡ Βασιλεία μου τῷ παρόντι χρυσοβούλλῳ λόγῳ αὐτοῖς καταχωρεῖ, πρὸς τὴν ἀσφάλειαν τῶν ῥητῶν ἐμπεριειλημμένων ἐν αὐτῷ, καὶ τὰ μὴ ῥητῶς περιωρισμένα ὡς ἄγνωστα ἢ ἀνόμαστα ἢ ἀνεξερεύνητα προαναιρεῖ ἢ ἀνατρέπει καὶ μὴ ἐπιγνωσθέντα ἡ Βασιλεία μου, ὡς ἂν κἂκ τῆς περιποιήσεως τῆς παντελοῦς ἀνενοχλησίας τοῖς μοναχοῖς μισθοῦ δόσειε, ἔρχηται τῇ Βασιλείᾳ μου ὡς ἐρρωμένου καὶ ἀῤῥαγοῦς καὶ ἀπαρεγχειρήτου διαμένειν ὀφείλοντος τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου εἰς τὸν αἰῶνα ἅπαντα τῇ χάριτι τοῦ Χριστοῦ τοῦ ἐπιχειρήσοντος

κατά τι παρασαλεῦσαι τὰ διωρισμένα παρὰ τῆς Βασιλείας μου ἢ ὁπωσδήποτε διασεῖσαι ὑφορωμένου μετὰ τῆς θείας ἀγανακτήσεως, καὶ τὴν ἀπὸ τῆς βασιλείας μου ὀργὴν καὶ ἀποστροφὴν ἐπὶ τούτῳ, καὶ οὕτως ἀπερίτρεπτον, ὡς εἴρηται. διαμένειν τὸν παρόντα χρυσόβουλλον λόγον τῆς Βασιλείας μου, γεγενημένον κατὰ μῆνα Ἀπρίλιον τῆς ἑβδόμης Ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ἑξηκοστοῦ ἑβδόμου ἔτους, ἐνῷ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ἐπεσημήνατο κράτος.

Μιχαὴλ ἐν Χριστῷ τῷ Θεῷ πιστὸς Βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος.

Ἅμα μὲν καὶ ἀρετὴν ὁσίων καὶ φιλοθέων ἀνδρῶν τιμῶσα ἡ Βασιλεία ἡμῶν, ἅμα δὲ καὶ τὸ θεῖον ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλογεῖν βουλομένη, καὶ τὰ δύο ταῦτα χρηστὰ καὶ τωόντι βασιλικὰ διαπραττομένη, δεῖν ὡήθη κἂν τῇ ἐν Χίῳ τῆς ὑπεραγίας Θεοτόκου Νέᾳ μονῇ τὰ τῆς εὐεργεσίας ἐνδείξασθαι· ὡς ἂν μὴ μόνον ἐν ἠπείροις τε καὶ θαλάσσαις, ἀλλὰ καὶ αὐταῖς ταῖς νήσοις τὸ ταύτης ἐφαπλῶται φιλότιμον· πολὺν γὰρ οἱ ἐκεῖσε ἀρετῆς εἰπέρ τινος ἑτέρου φροντίσαντες, ἀναλόγως τῷ βίῳ καὶ τὸν παρὰ τῆς βασιλείας ἡμῶν ἐπεσπάσαντο ἔλεον. Ἔνθεντοι καὶ τῷ περὶ τὴν ὑπεραγίαν Δέσποιναν ἡμῶν Θεοτόκον διαπύρῳ πόθῳ τὴν περὶ τοὺς φιλαρέτους τούτους ἄνδρας προσθέντες στοργήν, καὶ ἀγαθὸν ἀγαθῷ παραζεύξαντες, τὸ παρὸν χρυσόβουλλον σιγίλλιον ἐξέμεθα, διορισάμενοι ἐν τῷ αφορισθέντι τοῖς ὀλυμπίταις μοναχοῖς ξενοδοχείῳ παρὰ τῆς βασιλείας ἡμῶν καὶ αὐτοὺς καταλύειν· ἔχειν τε εἰς καταγωγὴν ἀνεωκάτωγον τὸ περὶ τοιούτων ξενοδοχεῖον, καὶ ἐν αὐτῷ καταμένειν, ἀπηνίκα χρεία τις αὐτοὺς ὡς τὰ ἐνταῦθα τοῦ μοναστηρίου ἀπάγοιεν· λαμβάνειν δ' ἐτησίως καὶ λόγῳ σιτηρεσίου σίτου μοδίους τριάκοντα καὶ νουμινίων μιλιαρίσια τριάκοντα, κατὰ τὸν καιρὸν δηλονότι, καθ' ὃν καὶ οἱ

ὑπὸ τοῦ Ὀλύμπου μοναχοὶ (τὰ) τυπωθέντα λαμβάνουσι σιτηρέσια. Ὑστερῶν δὲ αὐτοῖς τὸ τοιοῦτον ἐτήσιον σιτηρέσιον οὐδέποτε βουλόμεθα, οὔτε μὴν τῆς ἐν αὐτῷ κατωγέῳ καταμονῆς τοὺς τοιούτους ἐκπίπτειν, καθὼς καὶ τὸ πρὸς τὸ (σέ)κρετον τοῦ μεγάλου οἰκονομείου, τοῦ ἁγίου Γεωργίου τοῦ Τροπαιοφόρου καταπεμφθὲν πιττάκι(ον) τῆς βασιλείας μου διαλαμβάνει. Ἀλήθεσθαι γε μὴν καὶ τοὺς καθ' ἕκαστον χρόνον παρεχομένους τοῖς μοναχοῖς τριάκοντα σίτου μοδίους, καὶ ζυμοῦσθαι, καὶ εἰς ἄρτον ἀποκαθίστασθαι τέλειον, παρὰ τῶν τῆς μονῆς τοῦ Τροπαιοφόρου διακελευόμεθα, ἵνα μηδ' ἐντεῦθεν οἱ τῆς ἐν Χίῳ μονῆς πράγματα ἔχοιεν, φυράμασι καὶ ζύμῳ προσανέχοντες, καὶ περὶ τὴν ἀρτοποιίαν ἀσχολούμενοι, ἀλλὰ τέλεον καὶ ἐν τούτῳ ἀφροντιστοῦντες, θερμότα(τα) τῆς βασιλείας ἡμῶν ὑπερεύχωνται. Ὡς ἂν δὲ τὸ ἀσφαλὲς τοῖς μοναχοῖς καὶ εἰς τὸ ἑξῆς ᾖ ἐπί τε τῷ φιλοτιμηθέντι παρὰ τῆς βασιλείας μου σιτηρεσίῳ, τοῖς τριάκοντα τοῦ σί(του) μοδίοις, καὶ τοῖς τριάκοντα τῶν νουμμίων μιλιαρισίοις, καὶ ἐπ' αὐτοῖς τοῖς οἰκήμασι, τῷ ἀνωγέῳ δηλαδὴ καὶ τῷ κατωγέῳ, τὸ παρὸν χρυσόβουλλον σιγίλλιον διὰ κινναβάρεως σημειωθέν, καὶ χρυσῇ βούλλῃ τῆς βασιλείας μου πιστωθὲν ἐπεδόθη μηνὶ Μαΐῳ Ἰνδικτιῶνος ιδ'.

Κωνσταντῖνος ἐν Χριστῷ κτλπ.

Ἐπεὶ ἡ ἐν τῇ Χίῳ Νέα μονὴ τῆς ὑπεραγίας Θεοτόκου εἰς ἐπίδοσιν καὶ αὔξησιν ἐλθοῦσα, τοῦτο μὲν καὶ διὰ τῶν ἁγίων Δεσποινῶν τῶν Πορφυρογεννήτων, τοῦτο δὲ καὶ δι' αὐτῆς τῆς Βασιλείας μου, ὅσον ἐφικτὸν σπουδα(σά)σης τὰ εἰς σύστασιν αὐτῆς, ἐδεῖτο καὶ ἐν τῇ Θεοφυλάκτῳ ταύτῃ πόλει ἀπλήκτου, καὶ ἀξίωσιν περὶ τούτου ὅτε καθηγούμενος Νικήτας, τῆς τοιαύτης μονῆς καὶ ὁ συναδελφὸς αὐτοῦ Ἰωάννης καὶ οἱ λοιποὶ μοναχοί, ἀναγκαῖον καὶ ἀπαραίτητον αὐτοῖς τὸ τοιοῦτον ἡγησαμένη ἡ βασιλεία μου οὐ παρεῖδε τὴν τούτων ἀξίωσιν, ἀλλὰ προθύμως καὶ εὐμε-

νῶς ἐπήκουσεν αὐτῶν, καὶ διορίζεται διὰ τοῦ παρόντος χρυσοβούλλου σιγγιλίου, ὥστε ἀπὸ (1) οἰκιακῶν τῆς μονῆς τοῦ τροπαιοφόρου ἔχειν αὐτοὺς τὸ ἀνωγεωκάτωγον οἴκημα, τὸ ὂν ὑπὸ τὴν τοποθεσίαν τῶν Ἀγγουρίων πλησίον τοῦ ἁγίου Νικολάου, μετὰ τοῦ περιαυλίου αὐτοῦ καὶ τοῦ προστῴου ἡλιακοῦ, καὶ τοῦ σταύλου εἰς ἀπλῆκτον, καὶ καταμένειν ἐν αὐτῷ τοὺς ἀποστελλομένους παρ' αὐτῶν μοναχοὺς ἀπερικόπως, καὶ λαμβάνειν καὶ (2) προτετυπωμένα αὐτοῖς σιτηρέσια ἀπὸ τῆς μονῆς τοῦ Τροπαιοφόρου ἀνυστερήτως. Ἀνοικοδομεῖσθαι δὲ καὶ ἀνακεραμοῦσθαι, τὸ τοιοῦτον οἴκημα παρὰ τοῦ σεκρέτου τοῦ Τροπαιοφόρου, καὶ αὐτοὺς ἀκαινοτομήτους διατηρεῖσθαι, καὶ ὑπερεύχεσθαι τῆς Βασιλείας μου, καὶ ἐκτελεῖν καὶ τὴν τυπωθεῖσαν αὐτοῖς ἱκετήριον εὐχὴν ἀδιαλείπτως· διὰ τοῦτο γὰρ καὶ τὸ ἀπλῆκτον αὐτοῖς εἰς τὸ διηνεκὲς δέδωκεν ἡ Βασιλεία μου, ἵνα καὶ αὐτοὶ ἀπερισπάστως ἐκτελῶσι τὴν τοιαύτην εὐχὴν καὶ παράκλησιν, μὴ ἔχοντος ἐπ' ἀδείας τινὸς εἴτε τοῦ κατὰ τὴν ἡμέραν οἰκονόμου τοῦ Τροπαιοφόρου, εἴτε τοῦ καθηγουμένου, εἴτε τινος τῶν λοιπῶν σεκρετικῶν, μετακινεῖν αὐτοὺς ἢ μεθιστᾶν ἀπὸ τοῦ τυπωθέντος κινναβάρεως ὅπερ ὑποσημανθέν, καὶ χρυσῇ βούλλῃ πιστωθὲν ἐπεδόθη αὐτοῖς μηνὶ Ἰουνίῳ ἰνδικτιῶνος πρώτης.

Κωνσταντῖνος ἐν Χριστῷ κτλπ.

Ἐπεὶ καὶ ἡ Βασιλεία μου ἐπικυροῦσα πρώην διὰ χρυσοβούλλου σιγιλλίου αὐτῆς τὴν δεσποτείαν τοῦ κτήματος τῶν Καλοθηκίων, τοῦ τῇ ἐν Χίῳ Νεαμονῇ τῆς ὑπεραγίας Θεοτόκου διαφέροντος, ἐδωρήσατο αὐτῇ καὶ ἑτέρους παροίκους εἰκοσιτέσσαρας τὸν ἀριθμόν, καθὼς ὁ περὶ αὐτῶν Χρυσόβουλλος λόγος τρανώτερον διασαφοῖ. Ἠδυνήθησαν δὲ οἱ μοναχοὶ τῆς δηλωθείσης μονῆς ἐφευρεῖν

(1) ἀπὸ = τῶν.
(2) καὶ = τά.

τοσούτως παροίκους ἀτελεῖς καὶ ἀπηλλαγμένους ὄντας παντὸς βάρους καὶ στρατιωτικοῦ λειτουργήματος. Δεῖν ἐλογίσατο ἡ βασιλεία μου τῷ παρόντι σιγιλλίῳ τὰς ὀνομασίας αὐτῶν ἐγγραφῆναι, καὶ τὸ ἀσφαλὲς τῇ μονῇ διὰ τοῦτο ἐπιβραβευθῆναι. Οἱ δὲ τοιοῦτοι πάροικοι καὶ τῷ κτήματι τῶν Καλοθηκίων προσμενοῦσι καὶ ἐλευθερίας πάσης καὶ *ἐξουσιας*(;) εἰς τὸ διηνεκὲς ἀπολαύσουσι, καὶ οὐδεμίαν ὄχλησιν καὶ καινοτομίαν ὑπό τινος ὑποστήσονται, καὶ(1) ἐκεῖθεν μεταστήσονται, εἰ μήπου τυχὸν ἐλευθερία τις δημοσιακοῖς τισιν ὑποκείμενοι λειτουργήμασιν· ὁ γὰρ οὕτως ἔχειν διαγινωσκόμενος, οὐδεμίαν ὤνησιν ἢ βοήθειαν ἕξει ἀπὸ τοῦ γε(2) τοῦ σιγιλλίου, ἀλλὰ πρὸς τὰ οἰκεῖα βάρη επανακληθήσεται. Κατὰ δὲ τὸν καιρὸν τῆς ἀναγραφῆς ἐμφανιζομένου τοῦ παρόντος σιγιλλίου τῆς βασιλείας μου, καὶ κατ' ὄνομα τούτων διὰ τοῦ ἀναγραφέως τῇ Μονῇ προσεπιδοθήσεται εἰς οἰκείαν ἀσφάλειαν. Τὸ δὲ τῶν τοιούτων νέων παροίκων πρὸς ὄνομα, τῶν ἐν τῷ ῥηθέντι προσκαθεζομένων κτήματι τῶν Καλοθηκίων, ἔστιν οὕτως· Εὐστάθιος ὁ Βουρκανός· Νικόλαος ὁ Πυργιανός· Ἰωάννης ὁ Ξυλοσελᾶς· Λέων ὁ Καμιλαϊλᾶς· Νικολαος Ἀσπρομμάτης· Ἰωάννης Πρεσβύτερος ὁ Στρουλος· Γεώργιος ὁ Καλαφάτης· Μόσχος ὁ γαμβρος αὐτοῦ· ὁ Λιβανὸς τοῦ Ἀνηφαντάρη· Ἰωάννης ὁ Κολάτος· Γεώργιος ὁ Παντοκρατορινός· Γεώργιος ὁ Λουλος· Γεώργιος ὁ Ψωριανός· ὁ Μαζάγρελος· Νικόλαος ὁ Σαρακηνόπουλος· Πασχάλιος ὁ Κάνταλος· Μηνᾶς ὁ Σεληνιανός· Γεώργιος ὁ Μακρύς· ὁ Πολυπέτζης· Βασίλειος ὁ Θεοχάριστος· Ἰωάννης ὁ Κρατηρός· Θεόδωρος ὁ Γλαυκιώτης· Χρυσάφης ὁ Τζικαλᾶς· καὶ ὁ Κατωπτελείτης. Καὶ ἵνα ἔχοι(εν) ἐπὶ τούτοις οἱ μοναχοὶ τὸ ἀσφαλὲς καὶ ἀμέριμνον τὸ παρον διὰ κινναβάρεως σημανθέν, καὶ τῷ βουλλωτηρίῳ τῆς Βασιλείας μου πιστωθὲν ἐπεδοθη αὐτοῖς μηνὶ Δεκεμβρίῳ Ἰνδικτιωνος δ'.

Κωνσταντῖνος ἐν Χριστῷ κτλπ.

---

(1) καὶ = ἢ καὶ (2) ἀπὸ τοῦγε = ἀπὸ τοῦδε.

Οἱ τῶν(1) προηγουμένων ἀοιδίμων Βασιλέων πολλῶν καὶ μεγαλοπρεπῶν ἔτυχον δωρεῶν καὶ χαρίτων καὶ διαφόρων εὐεργεσιῶν οἱ ἐν τῇ Νήσῳ Χίῳ ἀσκούμενοι ἀμφὶ τὸ ἱερὸν φροντιστήριον, ὃ Νέα μονὴ ἐπικέκληται, ἐπ' εὐσεβείᾳ δὲ καὶ πίστει τιμᾶται πολλῇ, ὀνόματι τῆς ὑπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ὥσπερ ἀπό τινος ἐράνου τῶν φιλοτίμων ἐκείνων ψυχῶν καὶ τῳόν(τι) βασιλικωτάτων τὰς χάριτας διεδέξαντο πολλῷ πλέον καὶ παρὰ τοῦ κράτους ἡμῶν ἄξιοι γένοιντ' ἂν δαψιλεστέρων τυχεῖν ἀγαθῶν, καὶ ἀφθονωτέρας ἐπικουρίας μετασχεῖν ἐφ' ὅσον γὰρ πάντοθεν ταύταις προσγέγονε τὸ ἀπεριπλόνητον καὶ ἀμέριμνον ἐπί τε τῇ αὐτοδεσπότῳ συστάσει τῆς κατ' αὐτῆς σεβασμίας μονῆς καὶ τῇ ἀπολήψει τοῦ σολεμνείου, τῶν τυπωθεισῶν αὐτοῖς δίδοσθαι δύο λιτρῶν κατὰ τὸ ἐτήσιον ἐν τῇ ῥόγᾳ τοῦ τῶν πρωτοσπαθαράτων τάγματος καὶ ἐξκουσσεία πλείων κεχάρισται, καὶ πεντακαίδεκα, Ἰουδαίων Φαμελιῶν κεφαλητιὼν καὶ βάρους παντοίας ἐπηρείας ἄνεσις, καὶ ἄλλα τὰ διαφόρως τοῖς οὐσίοις ἀνδράσι λυσιτελοῦντα· οὐχ ἧττον δὲ καὶ τῇ σεβασμία τούτων μονῇ ἐπὶ τοσοῦτον ὁ χρόνος τὰς εἰς αὐτοὺς ἐναπέσβεσε χάριτας, καὶ οἷον εἰπεῖν (εἰς) ζόφον βαθὺν συνεκάλυψεν· Ὅτι γὰρ μνήμη τούτων τῷ τῆς λήθης ἐναπερρίφθη βυθῷ καὶ πτῶσιν πάντα εἰλήφει καὶ σύγχυσιν καὶ οὐδητισοῦν ἡ ὠφέλεια ἐντεῦθεν καὶ ὀδύναι συνεῖχον καὶ στεναγμοί, τοὺς οὕτω κατὰ Θεὸν πάντοθεν τὰ ἐναντία προσέρρει αὐτοῖς καὶ ἡ κατὰ Θεὸν σπουδὴ ταῖς βιωτικαῖς τρικυμίαις προσανεκόπτετο, καὶ ἄνεσις ἢ στάσις τῶν κακώσεων οὐκ ἐξῆν· ἀλλ' ἀπιδόντες πρὸς τὴν τοῦ κράτους ἡμῶν εὐμένειαν, ταχεῖαν ἀπαλλαγὴν εὑρίσκουσι τοῦ ἀλγήματος· ἃ γὰρ ἐξεμαράνθη τούτοις τῷ χρόνῳ, καὶ οἷον ἀπεσβέσθη χαρίσματα ᾐτήσαντο τοῦ(?) κράτους ἡμῶν καινισθῆναι ταῦτα αὐτοῖς, καὶ ὥσπερ ἀπό τινος βλάστης τῆς ἡμετέρας προστάξεως ἀναδοθῆναι τούτοις διὰ τῆς παρούσης χρυσοβούλλου γρα-

(1) (Παρὰ) τῶν

(?) ᾐτήσαντο τοῦ = ᾐτήσαντο παρὰ τοῦ.

φῆς δαψιλῆ καὶ πολύφορα τὰ καλά, καὶ δήτα τοιαύτην αὐτοῖς ἡ Βασιλεία μου τὴν χάριν χαρίζεται· πρωτοτύπως γὰρ καὶ ἐπώρθωσεν αὐτοῖς τὸ τῶν δύο λιτρῶν σολέμνιον διὰ πιττακίου αὐτῆς εἰς τὸ τοῦ μεγάλου σακελλαρίου καταπεμφθέντος σεκρέτου, διοριζομένου, ἵνα καθὼς πρώην ἐν τῷ τάγματι τῶν πρωτοσπαθάρων αὐτὸ ἐλάμβανον, λαμβάνωσι τοῦτο καὶ καθ' ἑξῆς. Εἶθ' οὕτως εἰς ἀνακαινισμὸν τῶν ἤδη τῷ χρόνῳ σβεσθέντων χρυσοβούλλων αὐτῶν ἀνανεοῖ ταῦτα ἡ Βασιλεία μου καὶ ἐπικυροῖ, καὶ τὰς περιλήψεις αὐτῶν πάσας καὶ διατάξεις διατρανοῖ τὰ ἤδη προγεγενημένα χρυσόβουλα σιγίλλια παρά τε τῶν μακαριτίδων Δεσποινῶν, καὶ τῶν ἐν μακαρίᾳ τῇ λήξει ἀοιδίμων Βασιλέων, τοῦτε κυρίου Κωνσταντίνου τοῦ Μονομάχου, τοῦ κυρίου Ἰσακίου τοῦ Κομνηνοῦ, Κὺρ Διογένους τοῦ Ῥωμανοῦ, Κὺρ Μιχαὴλ τοῦ Δούκα, θεσπίζουσα τὸ ἐνδύναμον ἔχειν κατὰ πάντα, καὶ ἐνεργεῖν τὰ τοιαῦτα, καὶ ὡς παρ' αὐτῆς τῆς Βασιλείας μου, ἐκφωνηθέντα τε καὶ ὁρισθέντα, οὕτως ἰσχύειν καὶ τὸ ἐνδύναμον ἀποφέρεσθαι. Διὸ παρεγγυώμεθα, καὶ πάντας ἐξασφαλιζόμεθα ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων γενικῶν καὶ στρατιωτικῶν λογοθετῶν, τῶν ἐπὶ τῆς ἡμετέρας σακέλλης καὶ τοῦ Βεστιαρίου, οἰκονόμου τῶν εὐαγῶν οἴκων, τῶν ἐπὶ τῶν οἰκιακῶν καὶ τῶν ἐφόρων καὶ τῶν βασιλικῶν κουραταριῶν εἰδικῶν γηροτρόφων, τῶν ἐπὶ τοῦ Θείας Μαγγάνων, οἰκιστῶν καὶ τῶν ὑπ' αὐτοὺς πρωτονοταρίων χαρτουλαρίων, καὶ Βασιλικῶν νοταρίων· ἔτι δὲ δομεστίκων τῶν σχολῶν κατεπάνω στρατηγῶν τῆς Χίου, καὶ τῶν ἀντιπροσωπούντων αὐτοῖς Ταξιαρχῶν, Τουρμαρχῶν, μεραρχῶν, χαρτουλαρίων τοῦτε δρύμου καὶ τῶν θεμάτων, κομήτων τῆς κόρτης, δομεστίκων τῶν θεμάτων· δρουγγαροκομήτων πρωτοκεντάρχων, βασιλικῶν τῶν κάστρων, καστροφυλάκων, καστροκτιστῶν, βεστιαριτῶν, μανδατόρων πρέσβεις ἀγόντων ἢ ἐξορίστους, ἢ ἐθνικοὺς ἢ κατά τινα ἄλλην χρείαν διερχομένων προελεσιμάνων βασιλικῶν καὶ λοιπῶν ταγματικῶν καὶ θεματικῶν ἀρχόντων· πρὸς τούτοις

κριτῶν, ἐποπτῶν, ἀναγραφέων, στρατευτῶν Βασιλικῶν, τῶν εἴς τινας δουλείας ἀποστελλομένων, πρωτονοταρίων, νοταρίων, συνωναρίων, ὡρειαρίων, τοποτηρητῶν, παραφυλάκων, καὶ παντὸς ἑτέρου δουλείαν τοῦ κοινοῦ μεταχειριζομένου, τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήποτε χρόνῳ, καθοιονδήτινα τρόπον, ἐξοιασδήτινος προφάσεως ἐπ' ἀδείας ἔχειν ἀθετεῖν τι παρὰ τῆς βασιλείας μου διωρισμένων καὶ ἀναγεγραμμένων ἐνταῦθα ὡς βεβαίου καὶ ἀσφαλοῦς τυγχάνοντος τοῦ παρόντος ἡμῶν εὐσεβοῦς χρυσοβούλλου σιγιλλίου, γενομένου κατὰ τὸν Ἰούνιον μῆνα τῆς Β' Ἰνδικτιῶνος ἐν ἔτει ς. φ. π. ζ. ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Νικηφόρος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς Βασιλεὺς καὶ αὐτοκράτωρ Ρωμαίων ὁ Βοτανιάτης.

Κύριλλος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Εἰ δίκαιον μέν ἐστι καὶ πᾶσιν ἱερὸν εἰπεῖν ἀνθρώποις τοῦ τὴν ἡμῶν μετριότητα πᾶσι τοῖς δεομένοις αὐτῆς τὴν προσήκουσαν ἀρωγὴν πρυτανεύειν καὶ πρὸς τὰς αἰτήσεις αὐτῶν ἑτοίμην εἶναι, καὶ τὴν δικαίαν αὐτοῖς ἐπιδεικνύναι πρόνοιάν τε καὶ ἐπιμέλειαν, κέρδος ἴδιον τὸ λυσιτελοῦν αὐτοῖς ποιουμένων πως ὅτι μᾶλλον οὐκ ἄν εἴη αὐτοῖς δικαιότερον τὸ ταῖς οἰκείαις μοναῖς παρέχειν καὶ καταπείθειν τὴν διάνοιαν τοῖς τὴν φύσιν ἀρνησαμένοις σεβασμίοις ἀνδράσι, καὶ ὑπὲρ φύσιν ἐγκαταβιοῦσι, καὶ δι' ἀρετῆς τε καὶ ἐπὶ μόνου ἀσκήσεως καθαρθεῖσιν ὡς δέον· ἔτι τε καὶ διὰ θεωρίας ἐμπράκτου τῷ Θεῷ πλησιάζουσιν, ἐγκαίρου τυχεῖν. . . παρ' αὐτῆς ἐπικουρίας, καὶ ἀρωγῆς ἐκ. . . . δεομένοις· ἐπεὶ καὶ κατὰ τὸν ἱερὸν καὶ θεσπέσιον ἀπόστολον Παῦλον λίαν ἐπάναγκες ἔσχηκεν ὄφλημα καὶ περὶ ἑτέρου ἔργου παντός, καὶ πάσης ἄλλης τινὸς

Θεοφιλοῦς διατάξεως, αἱρετώτερον τὸ περὶ πασῶν τῶν ἁγίων ἐκκλησιῶν μεριμνῶν, καὶ τῶν σεβασμίων οὐκ ἔλαττον προνοεῖσθαι μονῶν, καὶ τῆς ἐναρέτων ἀνδρῶν (τῆς) Θεαρέστου ἀνατροφῆς καὶ ψυχικῆς σωτηρίας ἀδιαλείπτως φροντίζειν, ὡς τὸ ἑαυτῆς συμφέρον καὶ μόνον. Ἀλλά. . . . καὶ συνασθενοῦσα τοῖς ἀσθενοῦσι, καὶ τοῖς σκανδαλιζομένοις . . . . . αὐτῶν ὑπακούειν, καὶ τὰ λυποῦντα αὐτοῖς ἀποσκορακίζειν ὡς δέον καὶ τὰ τοῦ πονηροῦ παρόντα σκανδαλοποιά γε ζιζάνια πρὸ ῥίζης ἐκτέμνειν τῇ μαχαίρᾳ τοῦ Θείου καὶ εἰρηνοποιοῦ πνεύματος . . . . . καὶ εὐθαρσῶς εἰς τὴν προτέραν εἰρηναίαν κατάστασιν ἐπιτηρεῖν, καὶ πάσης ἱεροπολιτείας τὰ ψυχωφελῆ καὶ σωτήρια πρυτανεύειν αὐτοῖς γε ἐντάλματα. Τοιγαροῦν καὶ τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης. . . . . τῆς μονῆς τῆς Νέας τῆς ἐν τῇ περιφήμῳ νήσῳ Χίῳ πατέρες, ἐνεφάνησαν γράμματα σιγιλλιώδη τῶν μακαρίων καὶ ἀοιδήμων Πατριαρχῶν τοῦτε κὺρ Ἰωάσαφ, κὺρ Ἱερεμίου, καὶ τοῦ κὺρ Θεοκτίστου [δηλοῦντα] ὅτι οἱ κατὰ καιροὺς ἀείμνηστοι Βασιλεῖς, ἤτοι Κωνσταντῖνος ὁ Μονομάχος, Ἰσάκιος ὁ Κομνηνός, Κωνσταντῖνος Δοῦκας, Διογένης Ῥωμανός, Μιχαὴλ Δούκας, Νικηφόρος Βοτανιάτης, Ἀνδρόνικος Παλαιολόγος, καὶ λοιποὶ ἀπεφήναντο καὶ ὥρισαν διὰ βασιλικῶν αὐτῶν χρυσοβούλλων καὶ προσταγμάτων τοῦ μηδένα τῶν βασιλικῶν δημοσίων δικαστῶν καὶ ὑπηρετῶν ἐπ' οὐδεμιᾷ προφάσει καὶ. . . . . παρασαλεῦσαι τῆς μονῆς ταύτης ἐθῶν τε καὶ τάξεως, ἀλλὰ ταύτην τὴν θείαν μονὴν αὐτοδέσποτον εἶναι, καὶ εἰς τὸ διηνεκὲς ἔσεσθαι ὡς τὸ πάλαι ἐκ χειρὸς ἀρχιερατικῆς ἀρχοντικῆς τε καὶ ἐκκλησιαστικῆς, ἐλευθέραν καὶ αὐτοδέσποτον πλουτεῖν, κατὰ τὴν διάταξιν τῶν ἐν αὐτῇ προεστώτων, καὶ τὴν ἀπόφασιν ἐκείνην τῶν ἀειμνήστων Βασιλέων, ὡς ἐβεβαίωσαν καὶ ἐκύρωσαν οἱ ῥηθέντες εὐσεβεῖς Βασιλεῖς καὶ ἀοίδιμοι Πατριάρχαι . . . . . βεβαιωτηρίου, εἰς πλείονα γράφει, καὶ ἐν ἁγίῳ πνεύματι ἀποφαίνεται. . . . . .

. . . . . ὑπερτίμων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὰ μὲν παλαιγενῆ ἐκεῖνα χρυσόβουλλα καὶ σιγίλλια ἔχωσι κῦρος καὶ βέβαιον καὶ ἀμετάτρεπτον εἰς αἰῶνα τὸν ἅπαντα Ἡ δὲ ἱερὰ καὶ σεβασμία καὶ βασιλικὴ μονὴ ἡ Νέα σὺν τοῖς μετοχίοις αὐτῆς, ὅπη καὶ ἂν ὦσι . . . . καὶ ὀνομάζηται τῆς αὐτῆς μονῆς τῆς Νέας, καὶ μετὰ πάντων τῶν πραγμάτων αὐτῶν κινητῶν τε καὶ ἀκινήτων, καὶ ὑπάρχει ἐλευθέρα καὶ ἀδούλωτος, καὶ ἀκαταπάτητος, καὶ ἀνενόχλητος καὶ ὅλως ἀνεπηρέαστος ἐκ παντὸς προσώπου ἀρχοντικοῦ καὶ ἱερατικοῦ, καὶ μήτε ὁ κατὰ καιροὺς μητροπολίτης Χίου, μήτε ἄλλος μικρὸς ἢ μέγας ἔχει δίκαιον ζητεῖν τι πολὺ ἢ ὀλίγον . . . κατ' οὐδένα τρόπον ἢ καὶ προηγουμένως παρ' οὐδενὸς τῶν τῆς Χίου κληρικῶν, καὶ τῶν κατὰ καιροὺς πατριαρχικῶν ἐξάρχων ἐν ἀργίᾳ ἀσυγνώστῳ καὶ ἀφορισμῷ ἀλύτῳ . . . . . ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου Τριάδος ἐν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. Καὶ οἱ ἐν αὐτῇ ὁσιώτατοι πατέρες διάγωσιν ἀθόρυβοι καὶ ἀτάραχοι ὡς προσήκει τῷ ἀγγελικῷ σχήματι. . . . . μνημονεύοντες παρρησίᾳ μόνου τοῦ πατριαρχικοῦ ὀνόματος καὶ μηδὲν ἄλλο ἀπαιτοῦντος τοῦ κατὰ καιροὺς πατριάρχου, ὥσπερ ἐν πᾶσι τοῖς βασιλικοῖς μοναστηρίοις ἐστίν. Ἔτι δὲ κυβερνᾶσθαι τὴν τοιαύτην μονὴν ἀδέσποτον κατὰ τὴν τάξιν τῶν βασιλικῶν χρυσοβούλλων καὶ τῶν πατριαρχικῶν σιγιλλίων, ἃ καὶ φυλλάττεσθαι καθόλου ἰσχύειν καὶ ἐκπληροῦσθαι ἐθέλομεν ἔν τε ταῖς ἐκκλησίαις καὶ τοῖς προαστίοις καὶ μετοχίοις, καὶ πᾶσι τοῖς ἄλλοις τοῖς οὖσι [ὑπὸ τὴν κυριότητα] τῆς εἰρημένης θείας μονῆς. Καὶ κεφαλὴν καὶ προεστῶτα τῶν ἐνασκουμένων πάντων εἶναι τὸν κατὰ καιροὺς ἡγούμενον λαμβάνοντα καὶ τὰς ἔκπαλαι αὐτοῦ ἀτελείας καὶ τιμὰς καὶ διάγοντα ὡς καὶ τοὺς πρὸ αὐτοῦ ἡγουμένους καὶ οὐδεὶς ἔχει ἐξουσίαν τινὰ ἐναντιωθῆναι αὐτῷ ὅταν ἀφορήσῃ εὐλόγως τινα τῶν ἀναστατῶν τῆς μονῆς. Ἔχοντα ἐπ' ἀδείας προσκαλεῖν τῶν

ἀρχιερέων, ὃν ἂν βούληται, χειροτονίας ποιεῖν ἐν τῷ ἱερῷ τούτῳ μοναστηρίῳ . . . . . καὶ μηδεὶς ἄλλος κωλύειν τολμᾷ τοὺς βουλομένους ἐν τῇ μονῇ ταφῆναι. . . . . .

. . . . . Ἔτι ἐχέτωσαν ἐξουσίαν οἱ πατέρες τῆς μονῆς ἐκλέγειν τε καὶ ἀποκαθιστᾶν, ὃν ἂν βούλωνται κατὰ καιροὺς ἑαυτῶν καθηγούμενον· ἄλλῳ δὲ τινὶ πρωσώπῳ μὴ ἐξέστῳ προβιβάζειν ἐκείνοις ἡγούμενον . . . . . .

. . . . . σιγιλλιῶδες καὶ συνοδικὸν [γράμμα] καὶ ἐπεδόθη τῇ ῥηθείσῃ θείᾳ καὶ Βασιλικῇ μονῇ τῇ Νέᾳ ἐν ἔτει (1621)

Κύριλλος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

† ὁ . . . . . .

† ὁ Παλαιῶν Πατρῶν Θεοφάνης.

† ὁ . . . . . .

† ὁ [Αἴ]νου Δανιήλ.

† ὁ . . . . Μελχισεδέκ.

† ὁ Κυζίκου Παρθένιος.

† ὁ Ναυπακτίας καὶ Ἄρτης Γαβριήλ.

† ὁ Μιτυλήνης Κωνστάντιος.

† ὁ Θηβῶν Μητροφάνης.

† ὁ Προικονήσου Κλήμης.

Ἱερεμίας ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Τῆς διαμονῆς καὶ συντηρήσεως τῶν ἐν τῷ μετὰ σώματος τῷδε βίῳ πραγμάτων λόγον ὅτι πλεῖστον ποιούμενοι οἱ κεκτημένοι ταῦτα, ὅση δύναμις περιέπειν ἐκεῖνα οὐ διαλείπουσι, προνοίαις διαφόρων συστατικῶν καὶ συντηρητικῶν ἐπιτηδευμάτων καὶ ἐπιμε-

λείαις ὅλαις σπεύδουσι διασώζειν πάσης ἐνδεχομένης φθορᾶς καὶ ἐπηρείας ἀνώτεροι· εἰ δὲ τοῦτο ἁπλῶς ἐπὶ πάντων γινόμενον ἀναγκαῖον ἔστι καὶ ὠφέλιμον, πολλῷ μᾶλλον ἐπὶ τοῦ καθ' ἡμᾶς πατριαρχικοῦ καὶ οἰκουμενικοῦ θρόνου ὀφείλει διενεργεῖσθαι, οὗτινος πρὸς τοῖς ἄλλοις καὶ τόδε προνόμιον πέφυκε, κήδεσθαι καὶ προνοεῖν τῆς συστάσεως καὶ διαμονῆς τῶν ὑποκειμένων αὐτῷ ἁγίων ἐκκλησιῶν, ἱερῶν τε σκηνωμάτων, καὶ σεπτῶν καταγωγίων, καὶ ἐπιχορηγεῖσθαι αὐτοῖς τὴν ὕπαρξιν ἀνέκλειπτον, καὶ τὴν διαμονὴν βεβαίαν καὶ ἀμετάπτωτον· ἀνθ' ὧν οἱ κατὰ καιροὺς θεόθεν ἀνειλημμένοι τοὺς πνευματικοὺς αὐτοῦ οἴακας κυβερνῆται, διὰ φροντίδος ἔχουσιν ἐνδείκνυσθαι κατὰ πάντα καιρὸν τὴν προσήκουσαν αὐτοῖς κηδεμονίαν καὶ περιποίησιν, καὶ δὴ καὶ τὰ πανταχόθεν προσκομιζόμενα αὐτοῖς παλαιγενῆ καὶ ἀρχαῖα γράγμματα τῶν σεβασμίων μοναστηρίων, ὅσα ὑπὸ τῶν κατὰ καιροὺς πατριαρχευσάντων ἐπὶ τοῦ ὀρθοῦ καὶ δικαίου λόγου σαφῶς ἐχόμενα διετελέσθησαν, προνοίᾳ τῆς ἐκκλησίας ἀνακαινίζειν διὰ τῶν νεωτέρων γραμμάτων ἐπὶ διαμονῇ μακρᾷ τῶν καταρξαμένων πραγμάτων· τούτῳ γὰρ καὶ μόνῳ τῷ τρόπῳ εἰς μακρὰν τὰ πράγματα παρατείνεται, καὶ παλιζωίαν ἀπολαμβάνουσι διὰ τῆς ἀμοιβαίας ἀνακαινίσεως, καὶ τῆς τοῦ πανδαμάτορος χρόνου φθορᾶς ἀπαλάττοντας, ὅπερ οὐ διέλειπε μέχρι τοῦ νῦν ἐνεργούμενον, ὡς συντελοῦν ἀναγκαίως πρὸς τὴν τῶν ἐκκλησιῶν ἐπισύστασιν. Ἐπειδὴ τοιγαροῦν προσεκομίσθη καὶ ἐνεφανίσθη ἡμῖν ἤδη προεκδοθὲν γράμμα ἡμέτερον πατριαρχικόν, συνοδικόν, σιγιλλιῶδες ἐν μεμβράναις, βεβαιοῦν ἄλλα προγενέστερα γράμματα τῶν πάλαι καὶ πρόπαλαι ἀοιδίμων πατριαρχῶν, τοῦτε μακαρίτου γέροντος κὺρ Διονυσίου καὶ τῶν πρὸ αὐτοῦ, τοῦ γέροντος δηλονότι κὺρ Παρθενίου, καὶ τοῦ κὺρ Ἰάσαφ τοῦ κὺρ Μητροφάνους, τοῦ κὺρ Ἱερεμίου, τοῦ κὺρ Θεοκτίστου καὶ τῶν μετ' ἐκείνους, μέχρι τοῦ κὺρ Νεοφύτου, καὶ ἐπέκεινα, ἅπερ ἐπεβραβεύθησαν καθ' ἕκαστον, καὶ τῇ ἐν τῇ περιφήμῳ νήσῳ Χίῳ κειμένῃ Θείᾳ καὶ Ἱερᾷ Βασιλικῇ Νεαμονῇ,

διαλαμβάνοντα, ὡς οἱ κατὰ καιροὺς ἀείμνηστοι Βασιλεῖς ἐκεῖνοι, ἤτοι Κωνσταντῖνος ὁ Μονομάχος, Ἰσάκιος ὁ Κομνηνός, Κωνσταντῖνος Δούκας, Διογένης Ρωμανός, Μιχαὴλ Δούκας, Νικηφόρος Βοτανιάτης, Ἀνδρόνικος ὁ Παλαιολόγος, καὶ οἱ λοιποὶ ἀπερήναντα διὰ βασιλικῶν αὐτῶν γραμμάτων καὶ χρυσοβούλλων τοῦ μηδένα διασεῖσαι καὶ παρασαλεῦσαι οὐδέν τι τῶν τῆς μονῆς ταύτης ἐθῶν τε καὶ τάξεων, ἀλλὰ ταύτην τὴν θείαν Νέαν μονὴν αὐτοδέσποτον εἶναι καὶ αὐτόνομον, καὶ ἐσαεὶ ἔσεσθαι ὥστε πάσης ἀρχοντικῆς τε καὶ ἐξουσιαστικῆς καὶ ἐκκλησιαστικῆς ἀνωτέραν συντηρεῖσθαι αὐτήν, καὶ τὸ αὐτοδέσποτον πλουτεῖν, καὶ διατελεῖν ἐλευθέραν, ἀδούλωτον καὶ ἀκαταπάτητον καὶ ἀνενόχλητον παρὰ παντὸς προσώπου ἱερωμένου ἢ λαϊκοῦ, καὶ ἐπὶ τῇ ἀποφάσει ταύτῃ τῶν πάλαι βασιλέων ἐπεκυρώσαντο καὶ ἐβεβαίωσαν οἱ ῥηθέντες ἀοίδιμοι πατριάρχαι διὰ γραμμάτων αὐτῶν. Οἵστισι γράμμασι συμφώνως προεξεδόθη καὶ πρὸ ἡμῶν τὸ προρρηθὲν σιγιλλῶδες ἐπιβεβαιοῦν καὶ σινιστῶν τὰ παλαιγενῆ ἐκεῖνα χρυσόβουλλα καὶ γράμματα. Τανῦν δὲ δεηθέντων αὖθις τῶν πατέρων τῆς ῥηθείσης μονῆς ἐπιβεβαιωθῆναι αὐτὰ ταῦτα καὶ ἐξ ἑτέρου γράμματος ἡμῶν συμφώνως τῷ προεκδοθέντι εἰς περισσοτέραν ἀσφάλειαν, δεῖν ἔγνωμεν ἀποδέξασθαι προσηνῶς τὴν αἴτησιν αὐτῶν ταύτην ὡς εὔλογον, καὶ πρὸς σύστασιν ἀφορῶσαν τοῦ ῥηθέντος μοναστηρίου· καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἀπαξάπαντα τὰ προρηθέντα γράμματα, ὅσα ἔκπαλαι καὶ καθεξῆς μέχρις ἡμῶν ἐφιλοτιμήθησαν τῇ ἱερᾷ καὶ σεβασμίᾳ Νέᾳ μονῇ Χρυσοβούλλά τε καὶ λοιπὰ πατριαρχικὰ γράμματα περὶ τῆς ἐλευθερίας αὐτῆς ἔχωσι τὸ κῦρος καὶ τὴν ἰσχὺν ἀμετάθετον εἰς αἰῶνα τὸν ἅπαντα, καὶ ἀμετάτρεπτον. Ἡ δὲ ῥηθεῖσα ἱερὰ καὶ βασιλικὴ μονὴ ἡ Νέα σὺν τοῖς μετοχίοις αὐτοῖς μετὰ καὶ τοῦ ἀφιερωθέντος αὐτῇ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου τῆς Πλακιδιωτίσσης

τοῦ ἐν τῇ Χώρᾳ Καλιμασίᾳ, ἔτι δὲ καὶ μετὰ τοῦ ἐν τῇ Νήσῳ Σάμῳ μετοχίου καὶ μοναστηρίου αὐτῶν τιμωμένου ἐπ' ὀνόματι τοῦ Ἁγίου ἐνδόξου Προφήτου Ἠλιοῦ, ἐν τῇ τοποθεσίᾳ τῆς Μεγάλης Λάκκας, καὶ πάντων τῶν πραγμάτων καὶ κτημάτων αὐτῶν κινητῶν τε καὶ ἀκινήτων, εἴη ἐλευθέρα, αὐτόνομος, ἀδέσποτος, ἀδούλωτος, ἀνενόχλητος, ἀκαταπάτητος καὶ ὅλως ἀνεπηρέαστος παρὰ παντὸς προσώπου ἀρχιερατικοῦ· καὶ μήτε ὁ κατὰ καιροὺς μητροπολίτης Χίου, μήτε ἄλλος τις μικρὸς ἢ μέγας ἔχει ἄδειαν ζητεῖν τε πολὺν ἢ ὀλίγον ἀπὸ τῆς μονῆς ταύτης, μήτε παρά τινος τῶν τῆς Χίου κληρικῶν, ἢ τῶν κατὰ καιροὺς πατριαρχικῶν ἐξάρχων ἐνοχλῆσθαι αὐτήν. Οἱ δὲ ἐν αὐτῇ μονάζοντες ὁσιώτατοι πατέρες διάγωσιν ἀθόρυβοι καὶ ἀνενόχλητοι, ὡς προσήκει τῷ ἀγγελικῷ σχήματι, μνημονεύοντες παρρησίᾳ μόνον τοῦ πατριαρχικοῦ ὀνόματος, καὶ μηδὲν ἄλλο ἀπαιτοῦντος τοῦ κατὰ καιροὺς Πατριάρχου, ὥσπερ ἐστὶν ἐν πᾶσι τοῖς Βασιλικοῖς μοναστηρίοις. Ἔτι δὲ κυβερνᾶσθαι τὴν αὐτὴν ταύτην μόνον κατὰ τάξιν τῶν βασιλικῶν χρυσοβούλλων καὶ τῶν πατριαρχικῶν σιγιλλίων, ἃ καὶ φυλάττεσθαι ἀσφαλῶς καθόλου καὶ ἐκπληροῦσθαι ἐθέλομεν ἔν τε ταῖς ἐκκλησίαις καὶ τοῖς μετοχίοις τοῖς οὖσι, μετὰ τοῦ μετέπειτα ἀφιερωθέντος αὐτῇ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου τῆς Πλακιδιωτίσσης, τοῦ ἐν τῇ Καλιμασιᾷ καὶ τοῦ ἐν τῇ Σάμῳ μετοχίου τοῦ Προφήτου Ἠλιοῦ ἐπ' ὠφελείᾳ καὶ αὐξήσει καὶ βελτιώσει τῆς εἰρημένης Θείας μονῆς. Κεφαλὴν δὲ καὶ προεστῶτα τῶν ἐνασκουμένων πάντων εἶναι τὸν κατὰ καιροὺς ἡγούμενον, ἔχοντα καὶ τὰς ἔκπαλαι αὐτοῦ ἀξίας καὶ τιμὰς καὶ διάγοντα ὡς καὶ τοὺς πρὸ αὐτοῦ ἡγουμένους· φέρειν τε καὶ πατερίτζαν κατὰ τὸ ἐπικρατῆσαν ἔθος τῆς μονῆς ταύτης ὅπου, ἂν προσκληθείς, μηδενὸς ἐναντιουμένου αὐτῷ περὶ τούτου ἔχοντα ἐπ' ἀδείας προσκαλεῖν, ὃν ἂν θέλῃ τῶν ἀρχιερέων εἰς τὸ ἐκτελεῖν ἐν τῷ μοναστηρίῳ αὐτῷ τὰς τυχούσας χειροτονίας ἀκωλύτως κατὰ τὴν κανονικὴν παρατήρησιν, μηδενός τε τολμῶντος κωλύειν ταφῆναι ἐν

τῷ μοναστηρίῳ αὐτῶν. Ἔχωσι τε ἄδειαν οἱ ἐν αὐτῷ πατέρες ὅπου ἂν προσκληθεῖεν κείρειν μοναχοὺς καὶ ἐρχομένους ἐν τῇ αὐτῶν μονῇ συνταχθῆναι, ὡσαύτως τε καὶ μοναζούσας τὰς βουλομένας μονάσαι ἐν τῷ μετοχίῳ αὐτῶν, τῷ ἐν τῇ Καλιμασίᾳ· κληρονομεῖν τε καὶ λαμβάνειν ἀνεμποδίστως τὰ πράγματα τῶν τελευτώντων Καλογήρων τῆς μονῆς ταύτης, ἢ ἔσω τῆς πόλεως ἢ ἔξω ἐν τοῖς χωρίοις μὴ τολμοῦντος τοῦ μητροπολίτου Χίου ἐνοχλεῖν αὐτοὺς περὶ τούτου, ἢ ἐμποδίζειν τὸν βουληθέντα ταφῆναι ἐν τῷ μοναστηρίῳ αὐτῶν καὶ ζητεῖν λαβεῖν ἀπὸ τοῦ ψυχικοῦ ἐκείνου ἀφιερώματος. Πρὸς τούτοις ἐχέτωσαν ἐξουσίαν οἱ τῆς μονῆς ταύτης πατέρες ἐκλέγειν κατὰ καιροὺς καὶ ἀποκαθιστᾶν ἡγούμενον, ἐν αὐτῇ τῇ μονῇ, ὃν ἂν βούλοιντο· ἄλλα δέ τινι μὴ ἐξέστω συμβάλλειν ἐκεῖσε ἡγούμενον κατ' οὐδένα τρόπον. Ὃς δ' ἂν βουληθῇ ἀθετῆσαι καὶ παρασαλεῦσαι τὰ ἀνωτέρω εἰρημένα, τὰς ἀποφάσεις δηλονότι τῶν χρυσοβούλλων καὶ τῶν πατριαρχικῶν σιγιλλίων, καὶ κατεπεμβῆναι τῆς μονῆς ταύτης, καὶ βλάψαι τοὺς ἐν αὐτῇ πατέρας καὶ ζημιῶσαι ἢ τῶν μετοχίων αὐτῆς καταπατῆσαι, καὶ τὰ πρὸς αὔξησιν καὶ βελτίωσιν αὐτῆς κωλύσαι, ὁ τοιοῦτος τοῦ μὲν ἱεροῦ ὢν καταλόγου, ἀργὸς ἔστω παρὰ ἱεροπραξίας, καταφρονῶν δὲ τῆς ἀργίας, καὶ ἀφωρισμένος ἀπὸ Θεοῦ, ὡς ὑπόδικος τελεία καθαιρέσει. Λαϊκὸς δέ, ἀφωρισμένος ἀπὸ Θεοῦ κυρίου Παντοκράτορος, καὶ ἀσυγχώρητος, καὶ ἄλυτος μετὰ θάνατον αἰωνίως, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος. Ὅθεν εἰς ἔνδειξιν ἐπεδόθη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν σιγιλλιῶδες συνοδικόν, ἐπιβεβαιωτήριον γράμμα τῇ ἁγίᾳ Βασιλικῇ Νέᾳ μονῇ· ,αψκε. μηνὶ Μαΐῳ (1).

(1) Ἐν τοῖς ἀρχείοις τῆς Νέας Μονῆς ὑπάρχουσιν ἓξ Χρυσόβουλλα, καὶ δύο πατριαρχικὰ σιγίλλια, ἀντιγραφέντα μὲν ὑπὸ τοῦ ἁγίου Μυριοφύτων κυροῦ Γρηγορίου τοῦ Φωτεινοῦ ἐκ τῶν ἐν τῇ κατὰ τὴν νῆσον Σάμον μονῇ τοῦ προφήτου Ἠλιοῦ ὑπαρχόντων χειρογράφων, ἐπικυρωθέντα δὲ ὑπὸ τοῦ πρώην Ἡγεμόνος πρίγκηπος Μιλτ. Ἀριστάρχου. — Τὰ θεσπίσματα ταῦτα ἔδωκα εἰς τύπωσιν, ὅτε ὁ

Ἱερεμίας ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς πατριάρχης.

† ὁ Ἡρακλείας Καλλίνικος
† ὁ Χαλκηδόνος Νικόδημος.
† ὁ Ἀγχιάλου Καλλίνικος.
† ὁ Μονεμβασίας Γρηγόριος.
† ὁ Δέρκων Νικόδημος.
† ὁ Νικομηδείας Παῦλος.
† ὁ Κρήτης Γεράσιμος.
† ὁ Χίου Δανιήλ.
† ὁ Παλαιῶν Πατρῶν Δανιήλ.
† ὁ Φερσάλων Κωνστάντιος.

ἐλλόγιμος κ. Γ. Ζολώτας Γυμνασιάρχης, μ' ἐπληροφόρησεν ὅτι τινὰ τούτων ἐτυπώθησαν ἐν τῷ περιοδικῷ «Πανδώρας», καὶ ὅτι καὶ ἄλλα ὑπάρχουσιν ἐν τῇ ἐφημερίδι «Ἀλήθεια». Τὴν Πατριαρχικὴν ταύτην ἐφημερίδα προθύμως μοὶ παρέσχεν ὁ Ἅγιος Χίου ἐξ ἧς ἀντέγραψα καὶ ὅσα ἐν ἐκείνῃ ὑπάρχουσιν, ἅτινα συμπεριέλαβον ἐνταῦθα, ἐκτὸς τῶν δύω πρώτων καὶ τῶν δύο τελευταίων ἀφεθέντων ὡς ἐν τοῖς ἀντιγράφοις τοῦ ἁγίου Μυριοφύτων ἔχουσι.

ΠΕΡΙΕΧΟΜΕΝΑ

Λυγεραὶ ἢ θεριστικὰ ᾄσματα

1 Ἡ Ἀρετή. . . . . σελ. 3
2 Ἡ ἁρπαγή. . . . . » 5
3 Ὁ Τσολάκης . . . . . » 6
4 Ὁ Βορι̯ᾶς καὶ τὸ ναυκλόπουλο . . . . . » 7
5 Τὸ στοίχημα. . . . . » 8
6 Οἱ λησταί . . . . . » 10
7 Ἡ πέρδικα καὶ ὁ κυνηγός . . . . . » 11
8 Ἡ ἄγνωστος ἀδελφή . . . . . » 12
9 Ἡ κατ' ἀνάγκην ψευδομένη . . . . . » 13
10 Ἡ ἀγαπῶσα . . . . . » 14
11 Ἡ κατάρα. . . . . » 16
12 Ἡ τιμή . . . . . » 17
13 Ἡ γενναιόψυχος . . . . . » 19
14 Ἡ μητρικὴ στοργή . . . . . » 20
15 Ἡ μηλιά . . . . . » 22
16 Τὸ ἁμάρτημα. . . . . » 23
17 Ἡ τιμία κόρη. . . . . » 24
18 Ἡ δόκιμος μοναχή . . . . . » 25
19 Ἡ συμβουλή . . . . . » 25
20 Ὅπου ὁ ἕνας, ἐκεῖ καὶ ὁ ἄλλος . . . . . » 26
21 Ἡ ἀνάγκη. . . . . » 28
22 Τὸ ἀσυγχώρητον ἁμάρτημα . . . . . » 29
23 Ἡ Ξανθή . . . . . » 31
24 Τὰ μάγια. . . . . » 32
25 Ἡ ἀτυχής. . . . . » 34
26 Ἡ δίκη . . . . . » 34
27 Ὁ νεκρὸς ἀδελφός. . . . . » 37
28 Τὰ δύο ἀγαπημένα . . . . . » 38
29 Ἡ ἐνάρετος κόρη . . . . . » 40
30 Ὁ Δράκος. . . . . » 41
31 Ἡ ψυχορραγοῦσα. . . . . » 41
32 Ἡ παθοῦσα . . . . . » 43
33 Ἡ ἀπατηθεῖσα . . . . . » 44
34 Ὁ ἐπιτυχών . . . . . » 45
35 Ὁ Χάρων. . . . . » 46

36 Τὸ ῥαφτόπουλο . . . . . σελ. 47
37 Ἡ ἄπιστος . . . . . » 47
38 Ἡ ἄστοργος μήτηρ . . . . . » 48
39 Ἡ καταρωμένη . . . . . » 49
40 Ὁ Διγενῆς . . . . . » 49
41 Ὁ γάμος τῶν ποντικῶν . . . . . » 50
42 Ὁ κατηχούμενος . . . . . » 51
43 Ὁ κατηχῶν . . . . . » 52
44 Ἡ ἐνάρετος . . . . . » 53
45 Ἡ πιστὴ σύζυγος . . . . . » 54
46 Ἡ ἄπιστος νύμφη . . . . . » 55
47 Ἡ ἀσπλαγχνος . . . . . » 56
48 Ἡ κακολογία . . . . . » 57
49 Ὁ νεκρὸς ἀδελφός . . . . . » 58
50 Τὸ Φραγκόπουλο . . . . . » 59
51 Τὸ ἀμπέλι . . . . . » 60
52 Οἱ ποντικοί . . . . . » 61
53 Ὁ ξενοθερίζων . . . . . » 64
54 Υἱὸς καὶ μήτηρ . . . . . » 64
55 Τὸ Ἀργυράκη . . . . . » 65
56 Ἡ ταλαίπωρος κόρη . . . . . » 66
57 Τὸ μικρὸ Βλαχόπουλο . . . . . » 68
58 Ὁ Αὐγερινὸς καὶ ἡ Σεβαστή . . . . . » 69
59 Ἡ σταθερὰ ἀγάπη . . . . . » 70
60 Τὸ σκλαβόπουλο . . . . . » 71
61 Ὄνειρον . . . . . » 73
62 Ἡ μετάνοια . . . . . » 74
63 Ὁ Πορφύρης . . . . . » 75
64 Ὁ σεισμὸς τοῦ 1881 . . . . . » 77
65 Οἱ Ἄραβες . . . . . » 79
66 Ὁ Μικροκωσταντῖνος . . . . . » 80
67 Οἱ ἀριθμοί . . . . . » 82
68 Ἡ Μαυριανή . . . . . » 84
69 Ὁ φθόνος . . . . . » 85
70 Ὁ ἐξηνταρίτικος γάμος . . . . . » 86
71 Ὁ Ἅγιος Γεώργιος . . . . . » 87
72 Τὸ νεραντζοφίλημα . . . . . » 89

Τὸ μυρολόγι τῆς Παναγίας

73 Τὸ μυρολόγι τῆς Παναγίας . . . . . » 93
74 Ἕτερον μυρολόγι . . . . . » 98

Ποιμενικά

75 Κατὰ τὴν κουρὰν τῶν προβάτων . . . . . σελ. 103
76 Ὁ ποιμὴν καὶ οἱ λῃσταί . . . . . » 105
77 Ἡ πιστὴ σύζυγος . . . . . » 106
78 Τσομπάνης καὶ Χάρων . . . . . » 108
79 Ὁ Βασίλης καὶ οἱ λῃσταί . . . . . » 109

Εἰδύλλιον

80 Εἰδύλλιον. . . . . » 113

Γαμήλια ᾄσματα τῶν ποιμένων

81 Γαμήλια ᾄσματα τῶν ποιμένων 17 . . . . . » 131

Τὰ κατὰ τὸν γάμον ἐν τῷ χωρίῳ Πυργίῳ

82 Ὁ γάμος ἐν Πυργίῳ . . . . . » 137
83 Λιανοτράγουδα 46 . . . . . » 143
84 Ἐρωτικὰ δίστιχα 115 . . . . . » 149

Αἰνίγματα

85 Αἰνίγματα 130 . . . . . » 163
86 Τὸ ὄνειρον . . . . . » 187

Αἱ Ἀπόκρεω

87 Αἱ ἀπόκρεω . . . . . » 193
88 Ὁ ξενητευμένος . . . . . » 195
89 Ἡ κακὴ σύζυγος . . . . . » 196
90 Ἡ μονολογοῦσα . . . . . » 197
91 Ἡ παράκλησις . . . . . » 198
92 Ἡ παπαδιά . . . . . » 199
93 Ἐξομολόγησις. . . . . » 200
94 Ἡ ξεμωραμένη . . . . . » 201
95 Τραγούδια τοῦ σμικτοῦ χοροῦ 8. . . . . » 201
96 Ὁ κρασοπατέρας . . . . . » 205

Νανουρίσματα

97 Νανουρίσματα 11 . . . . . » 209

Παροιμίαι

98 Παροιμίαι 793 . . . . . » 215

Ὁ Κλήδονας

99 Τὰ κατὰ τὸν κλήδονα δίστιχα 32 . . . . . σελ. 321

Προσευχαὶ τοῦ λαοῦ

100 Προσευχαὶ τοῦ λαοῦ 8 . . . . . » 329

Ἔθιμα κατὰ θάνατον

101 Τὰ κατὰ θάνατον ἔθιμα . . . . . » 335
102 Ἡ μήτηρ πρὸς θυγατέρα . . . . . » 342
103 Μήτηρ πρὸς υἱὸν ἠρραβωνισμένον . . . . . » 343
104 Ἡ σύζυγος πρὸς τὸν σύζυγον . . . . . » 345
105 Μυρολόγια ἐν τῷ χωρίῳ Πυργί . . . . . » 346
106 Ἡ σύζυγος ὑπὲρ τοῦ συζύγου . . . . . » 347

Ἀνάμικτα

107 Τὸ πρωτοπαλλήκαρον καὶ ὁ Ἀγᾶς . . . . . » 355
108 Ἡ φιλοξενία ἐν Ὀλύμποις . . . . . » 358
109 Γνῶμαι καὶ δεισιδαιμονίαι 58 . . . . . » 359
110 Περὶ Λαζάρου . . . . . » 374
111 Τὰ Βάϊα . . . . . » 376
112 Ἡ Μεγάλη Ἑβδομάς . . . . . » 377
113 Σημειώσεις ἐξαχθεῖσαι ἔκ τινων παλαιογράφων . . . . . » 378

Χειρόγραφα

114 Χειρόγραφα ἀντιγραφέντα ἐκ τῶν πρωτοτύπων . . . . . » 389
Ἐκ τοῦ κώδικος τοῦ χωρίου Ἁγίου Γεωργίου . . . . » 389
Τοῦ χωρίου Κοινῆς . . . . . » 407
Τῆς Μονῆς τῶν Μουδῶν . . . . . » 414
Ἐξ ἄλλου κώδικος τῆς Μονῆς τῶν Μουδῶν . . . . » 426
Ἐξ ἄλλου κώδικος τῆς Μονῆς τῶν Μουδῶν . . . . » 430
Ὁ Νικόλαος Ἀριστάρχης καὶ ἡ Δημογεροντία Χίου . . » 449
Χειρόγραφα Πυργίου . . . . . » 451
Ψήφισμα Πυργίων . . . . . » 463
Τοῦ χωρίου Καλαμωτῆς . . . . . » 467
Χωρίου Ἀμάδων . . . . . » 480
Ἁγίου Γεωργίου τοῦ ἐπιλεγομένου Καταργοῦ . . . . » 482
Μονῆς Ἁγίου Γεωργίου τοῦ Στηρᾶ ἢ Ῥαούση . . . » 483
115 Ἡ Χίος κατὰ τὸ 1810 . . . . . » 485
116 Ἡ Δημογεροντία Χίου μετὰ τὸ 1822 . . . . . » 516
Χρυσόβουλλα καὶ σιγιλλιώδη θεσπίσματα . . . . . » 539

Τιμᾶται δραχμῶν 6.

Εὑρίσκεται παρὰ τοῖς βιβλιοπωλείοις Μπὲκ καὶ Ἑστίας καὶ παρὰ τοῖς ἐκδόταις Μπὰρτ καὶ Χίρστ.


UB WIEN
+AM253555302


INSTITUT FÜR BYZANTINISTIK
Universität
Wien

64/1388

books2ebooks.eu

www.books2ebooks.eu

eBooks from your library by

eBooks on Demand

digitised by

UNIVERSITÄTS BIBLIOTHEK